z	a	T…r[j]	'Ardempešst[k]	٤٥٥	ig	'Ad£r	١[ع][ع]٢	e
z	a	Mournt£t[l]	Cornt£t[h]	٦٢[ع]	ib	'Ad£r	١٤٦٢[t]	j
a	a	Sareb£r[m]	T…r[j]	٧[ع]٩	ia	'Ad£r	١٦٩١	z
a	a	Mšer[n]	Mournt£t[l]	٨٧٣	i	'Ad£r	١٨١٤	h
b	a	'Ap£n[o]	Sareb£r[m]	٩٩٨	q	'Ad£r	١٩[ع]٥	q
b	a	'Addšr[p]	Mšer[n]	١١٢٢	h	'Ad£r	٢٥٦[ع]	i
g	a	Nt£i[q]	'Ap£n[o]	١٢[ع]٧	z	'Ad£r	٢١٨٩	ia
g	a	Mpacm£n[r]	'Addšr[p]	١٣٧١	j	'Ad£r	٢٣١٣	ib
d	a	'Isfant¦r dm£d[s]	Nt£i[q]	١[ع]٩٦	e	'Ad£r	٢[ع]٣٨	ig
d	a	Farbard…n[i]	Mpacm£n[r]	١٦٢٥	d	'Ad£r	٢٤٦٢	id
e	a	'Ardempešst[k]	'Isfant¦r dm£d[s]	١٧[ع]٤	g	'Ad£r	٢٢٨٧[u]	ie
e	a	Cornt£t[h]	Farbard…n[I]	١٨٦٩	b	'Ad£r	٢٨١١	ij
j	a	T…r[j]	'Ardempešst[k]	١٩٩[ع]	a	'Ad£r	٢٩٣٦	iz

a.[1]merîn V, + tÁj v | b. Ðrm¾ om. v | c. ¢rc¾ v | d. of et toà om. v | e. crÔnoi v | f. ¢teleiètoi v | g. œtouj + toà v | h. cort£t v | i. farbard…n LV | j. tÚr v | k. ¢rtipešst v | l. mert£t v | m. sacrioÚr v | n. mšer v | o. ¢panm£ v | p. ¥derma v | q. dÁma v | r. pšcman v | s. ¢sfant£r v | t. mistake for ١٤٦٦ | u. mistake for ٢٦٨٧

Πέμπτον ἀπὸ τῶν δήλων τούτων ἐτῶν τὸ ἔτος τοῦ Μελιξᾶ. καὶ γὰρ προσταγὴ ἐγένετο τοῦ τοιούτου Σουλτάνου Μελιξᾶ ὡς ἂν τὰ αὐθημερινὰ θῶσιν εἰς τὸ ἔτος τούτου κατὰ τὴν ἀρχὴν τῶν χρόνων τοῦ ἔτους ἐκείνου ἡνίκα ὁ ἥλιος εἰσέρχεται εἰς τὴν ἀρχὴν τοῦ Κριοῦ. καὶ ἡ ἀρχὴ ἑκάστου μηνὸς οὕτως ἵν' ᾖ ὅτε ὁ ἥλιος ἀπὸ ζῳδίου μεταβαίνει εἰς ζῴδιον καὶ αἱ μέσαι κινήσεις τῶν ἀστέρων ἀπὸ τῶν ἑτέρων ἐτῶν ἐκβάλλονται, καὶ διὰ τὴν εὐκολίαν τὸ αὐθημερινὸν εἰς τοῦτο τὸ ἔτος τίθεται. καὶ ἡ ἀρχὴ τοῦ ἔτους τούτου ἡμέρα α΄ ἦν ἀπὸ τοῦ μηνὸς τοῦ Σαμπὰν χρόνῳ $\overline{\text{ιγ٦٨}}$ ἀπὸ τοῦ ἔτους τῶν Ἀράβων. εἰς τοὺς $\overline{\text{٢٢٥}}$ χρόνους $\overline{\text{νγ}}$ ἡμέραι καπισά εἰσι· $\overline{\text{με}}$ γὰρ καπισὰ ἐκεῖναί εἰσιν ὅτι εἰς τοὺς $\overline{\text{δ}}$ χρόνους μία ἡμέρα γίνεται καπισά, καὶ $\overline{\text{η}}$ ἡμέραι ἐκεῖναί εἰσιν | ὅτι κατὰ $\overline{\langle\text{κ}\rangle\text{ε}}$ χρόνους μία ἡμέρα γίνεται καπισά, ὡς συνάγεσθαι πάσας $\overline{\text{νγ}}$. f88vL

Ἕκτον ἀπὸ τῶν δήλων τούτων ἐτῶν τὸ ἔτος | τοῦ Ναβουχοδονόσορ τὸ πρῶτον. οἱ χρόνοι ἐκείνου Αἰγυπτιακοὶ καὶ μῆνες Αἰγυπτίων. ἡ ἀρχὴ τοῦ ἔτους ἐκείνου ἡμέρα ε΄. μέσον τοῦ ἔτους τούτου καὶ μέσον τοῦ ἔτους Ἀράβων, ἡμέραι τόσαι· $\overline{\text{ιγ٩٩٨٥٢}}$. καὶ μέσον τοῦ ἔτους τούτου καὶ τῆς ἀρχῆς τοῦ ἔτους τοῦ Ἰασδακέρδη τόσαι παρῆλθον ἡμέραι· $\overline{\text{ϡ٥٣ιγ٢ϡ}}$. f43rV

---

4 εἰς] κατὰ L ‖ 5 οὕτως om. v ‖ 7 ἀκολίαν v ‖ 8 χρόνοι codd. ‖ 9 εἰσὶ καπισᾶ L ‖ 13 ἐτῶν om. L ‖ 14 ά L ‖ 15 μέσον τοῦ ἔτους om. Vv

Ἕβδομον ἀπὸ τῶν δήλων τούτων ἐτῶν τὸ ἔτος τοῦ Φιλίππου τοῦ ἀδελφοῦ τοῦ Ἀλεξάνδρου ἑτέρου τινός. μέσον τούτου τοῦ ἔτους καὶ τοῦ ἔτους τῶν Περσῶν ἡμέραι τόσαι· ϡϡϡ ϡϡϡ ϡϡϡ. ὁ εἷς χρόνος τῶν Αἰγυπτίων ἡμέραι ϡϡϡ.

Κεφάλαιον γ΄. Περὶ τῆς καταλήψεως ὅτι αἱ ἀρχαὶ τῶν χρόνων καὶ τῶν μηνῶν τούτων τῶν ἐτῶν κατὰ ποίαν ἡμέραν εἰσέρχονται τῆς ἑβδομάδος καὶ τῆς ἐκβολῆς τοῦ ἑνὸς ἔτους ἀπὸ τοῦ ἑτέρου μετὰ τοῦ ψήφου. τοῦτο οὖν εἰς τέσσαρας διαιρεῖται διαιρέσεις·

Διαίρεσις α΄. Περὶ τῆς ἀρχῆς τῶν χρόνων | καὶ τῶν μηνῶν κατὰ ποίαν f277vv
ἡμέραν εἰσέρχονται τῆς ἑβδομάδος μετὰ τοῦ ψήφου.

Εἰ βούλει εἰδέναι τὴν ἡμέραν τῆς ἑβδομάδος καὶ τὴν ἀρχὴν τοῦ χρόνου καὶ τὰς ἀρχὰς τῶν μηνῶν τοὺς τετελειωμένους χρόνους οὗ βούλει ἔτους ἀεὶ τήρει, ἤγουν κροῦε.

7 δ̄ L ‖ 11 τὰς ἀρχὰς om. Vv | τετελειωμένους + χρόνους LVv | ἀεὶ om. Vv ‖ 12 ἤγουν κροῦε om. Vv

f89L

| tÕ œtoj tîn 'Ar£bwn	tÕ œtoj tîn `Rwma…wn	tÕ œtoj tîn Persîn		tÕ œtoj tÕ SoultanikÒn
		pasit£	kapis£	
e„j t¦ rla e‡ ti eØreqÍ id prost…qentai toÚtoij ¢e…. e•ta tÕ prosteq•n mer…zetai e„j t¦ l. kata-limp£nontai oân t¦ temm£cia. tÕ d• eØreq•n ™ke‹no thre‹tai.	e„j t¦ e e‡ ti eØreqÍ b[a] toÚt J[b] prost…qentai. kaˆ t¦ b œpeita mer…zontai e„j t¦ d[c]. t¦ temm£cia kata-limp£nontai. e„ d ' oÙ kataleifqÍ ti[d], Ð crÒnoj ™ke‹noj[e] kapis£[f]. e‡ ti d• eØreqÍ, ™ke‹no thre‹tai.		oÙd•n prost…qentai[g] met¦ toà y»fou ˜k£stou mhnÕj toà kapis© ¢n¦ b.	e„j t¦ sog e‡ ti[h] eØreqÍ prost…qetai toÚt J rb. kaˆ p£lin e‡ ti eØreqÍ e„j t¦ sk mer…zetai. tÕ kataleifq•n e„j tÕ mšson katalimp£netai, kaˆ tÕ eØreq•n ful£ttetai.

a. dÚo v | b. toÚtoij v | c. tšssara v | d. ti + e„j tÕ mšson L | e. ™ke‹noj Ð crÒnoj L | f. katis© v | g. prost…qetai v | h. ti + d• Vv

ἔπειτα πάλιν προστίθεται εἰς ἐκεῖνα τὸ εὑρεθὲν καὶ τηρεῖται f43v V

	πασιτά	καπισά	πασιτά	καπισά	
ἕξ	ἕν	δύο	τρία	τρία	ἕν

ἐκεῖνο τὸ καταλειφθὲν ὕστερον εἰς τὴν περίσσειαν μερίζεται εἰς τὰ $\overline{\zeta}$. τὸ καταλειφθὲν ἡμέρα τῆς ἑβδομάδος τῆς ἀρχῆς τοῦ χρόνου.

Εἰ βούλει εἰδέναι τὰς ἡμέρας τῆς ἑβδομάδος ποῖαι κατὰ τὴν ἀρχὴν τῶν μηνῶν κατ' ἐκεῖνον τὸν χρόνον, πρόσθες κατὰ μῆνα τὸν παρελθόντα ἀπ' ἐκείνου τοῦ χρόνου.

---

5 ἡμέραι Vv ‖ 7–8 θόντα... χρόνου in marg. V

f89v
L

| [a]tÕ œtoj tîn 'Ar£bwn	tÕ œtoj tîn `Rwma…wn[a]	[a]tÕ œtoj tîn Persîn		tÕ œtoj SoultanikÒn
		[a]pasit£	[a]kapis£	
di¦ ›na mÁna dÚo[b], kaˆ di¦ ¥llon[e], ›n. oÛtwj mšcri telouj.	kat¦ mÁna di¦ $\bar{l}$ ¹merîn teleioÚmenon dÚo prost…qentai. tÕn plšon d• tîn[d] $\bar{l}$ Øperba…nonta toÚtJ tr…a[e] prost…qentai. e„j tÕn crÒnon toà kapis© e„j tÕn Soump¦t mÁna $\bar{a}$. e„j d• tÕn crÒnon toà pasit©[f] oÙdšn. kaˆ e„j tÕn[g] Soum¦t oÙdšn.	di¦ ›na ›kaston mÁna dÚo prost…qentai kaˆ e„j tÕn 'Ap¦n oÙdšn.	kaq' ›kaston mÁna ¢n¦ $\bar{b}$ mšcri teleièsewj toà mhnÔj toà Nomp£t	kaq' ›kaston mÁna Ôj teleioàtai di¦ kq ¹merîn $\bar{a}$, kaˆ e„j tÕn di¦ $\bar{l}$ ¹merîn teleioÚmenon $\bar{b}$ prost…qentai, kaˆ e„j tÕn d…a la ¹merîn teleioÚmenon[h] $\bar{g}$[i] prost…qentai, kaˆ e„j tÕn d…a lb ¹merîn teleioÚmenon $\bar{d}$ prost…qentai.

a. om. Vv | b. $\bar{b}$ L | c. di' ¥llon Vv | d. tÕn Vv | e. $\bar{g}$ L | f. om. L | g. om. L | h. ¹merîn teleioÚmenon om. LV | i. $\bar{g}$ + $\bar{g}$ L in fin. lin.
Column 4, tÕ œtoj SoultanikÒn, written below columns 1 to 3 in L.

| εἴ τι εὑρεθῇ ἀπὸ τῆς περισσείας, ἐκεῖνο μερίζεται εἰς τὰ $\overline{\zeta}$, ἤγουν ἀνὰ $\overline{\zeta}$ f278rv καταλιμπάνεται ἵνα ἀπὸ τῶν ἡμερῶν τῆς ἑβδομάδος ἀναφανῇ ποία ἐστὶν ἡ ἀρχὴ τοῦ μηνὸς ἐκείνου.

Δεύτερα διαίρεσις. Εἰς τὴν ποίησιν τῶν ἡμερῶν τῶν χρόνων καὶ τῶν ἡμερῶν τῶν μηνῶν εἰς ἕκαστον ἔτος.

Χρείας γενομένης γενέσθαι τὴν μέθοδον ταύτην, πρὸ ἐκείνου δεῖ γινώσκειν ὅτι ἡ ἀρχὴ τοῦ χρόνου ἐκείνου καὶ ἡ ἀρχὴ τοῦ μηνὸς | κατὰ ποίαν ἡμέραν f90rL συμβαίνει ἀπὸ τῶν ἡμερῶν τῆς ἑβδομάδος. ἐκείνη δὲ ἡ ἡμέρα ὀφείλει εἶναι δήλη ἀπὸ τοῦ ψήφου τῶν ἡμερῶν τῆς ἑβδομάδος. ταῦτα γὰρ χρεῖα διὰ τὸ ἔτος τῶν Ἀράβων δι᾽ ἐκεῖνο, ὅτι ὁ ψῆφος τῶν μηνῶν ἐκείνων εἰς δύο ψήφους κρατεῖται. εἷς ἐκεῖνος τῆς σελήνης φανείσης μετὰ σύνοδον νεωστί, καὶ ἕτερος ἵν᾽ ᾖ ὁ ψῆφος $\overline{\kappa\theta}$ ἢ $\overline{\lambda}$. οὗτος λέγεται ψῆφος μέσος, ὁ ψῆφος δὲ τῶν ἡμερῶν τῶν ἑβδομάδων διὰ τὸν μέσον ψῆφον ἐκρατήθη. ἡ ζητουμένη οὖν ἡμέρα διὰ τοῦ ψήφου τούτου κατορθοῦται. | fin. f43vV

Ὅταν βούλει ποιῆσαι ἡμέρας καὶ χρόνους εἰς οἷον βούλει ἔτος, τοὺς τετελειωμένους τούτους χρόνους τήρει ἤγουν κροῦσε.

---

1 εὑρεθεῖ L ‖ 4 β΄ V | τὴν ποίησιν] τὰ ποιήματα L ‖ 6 ταύτην] πάντων v,ταύτην sup. lin. v | ἐκείνου] τούτου Vv ‖ 8 ἀπὸ τῶν ἡμερῶν om. Vv ‖ 9 τοῦ ψήφου om. Vv ‖ 10 ὅτι] ἐπειδὴ Vv | μηνῶν] γραμμάτων v, cancell et μηνῶν sup. lin. v | $\overline{\beta}$ L ‖ 11 νεωστί] πρώτως Vv ‖ 12 τῶν ἡμερῶν iter. V ‖ 15 ὅταν –p. 394 om. Vv

tÕ œtoj tîn 'Ar£bwn	tÕ œtoj tîn `Rwma…wn	œtoj tîn Persîn		œtoj SoultanikÒn
		pasit£	kapis£	
e„j tÔsa: ١٥٦٣١, e‡ ti eØreqÍ, ~noàntai toÚtJ id. kaˆ e‡ ti gšnhtai, mer…zetai e„j t¦ l . e‡ ti kataleifqÍ, ¢pÕ tîn temmac…wn kata-limp£netai kaˆ tÕ eØreq•n thre‹tai.	e„j t¦ tÔsa: ١٤٦١ toÚtoij ~noàntai b . kaˆ tÕ eØreq•n mer…zetai e„j t¦ d. e‡ ti eØreqÍ ¥nw, krate‹tai kaˆ t¦ temm£cia katalimp£nontai. e‡ d ' oÙ kataleifqÍ ti, Ð crÒnoj ™stˆ toà kapis©	e„j t¦ tÔsa: ٣٧٤	e„j t¦ ٣٧٤٠kaˆ perissÕn po…ei e„j ™ke‹no. e‡ ti eØreqÍ di¦ toàto, Óti kaq'›kaston mÁna Óti ™stˆ kapis£, ¹mšrai l tÕ eØreq•n thre‹tai.	e„j t¦ ٨٥٣٤٣ , ~noàntai toÚtoij to‹j eØreqe‹sin ١٥٢ . e‡ ti eØreqÍ, mer…zetai e„j t¦ tÒsa ٢٢٥. t¦ temm£cia kata-limp£nontai, kaˆ tÕ eØreq•n thre‹tai.

| ἑνοῦται αἱ ἡμέραι τοῦ παρελθόντος ἀτελειώτου μηνὸς εἰς τὰς ἡμέρας τοῦ f90v L
τετελειωμένου μηνός. δεῖ δὲ εἰπεῖν περὶ τῶν ἡμερῶν τοῦ τετελειωμένου μηνὸς
πῶς καταλαμβάνονται.

œtoj tîn 'Ar£bwn	œtoj tîn `Rwma…wn	œtoj tîn Persîn		œtoj SoultanikÒn
		pasit£	kapis£	
Ð e¢j m¾n l ¹mšraij krate‹tai, kaˆ Ð ›teroj kq mšcri tšlouj.	kat¦ mÁna af ¹mšrai toÚtou kratoàntai met¦ toà y»fou kaqëj ™tšqhsan ™n tù kanon…J. di¦ tÕn Soump¦t d• mÁna kh ¹mšrai kratoàntai. e„j d• tÕn crÒnon toà kapis© kq.	kat¦ mÁna l ¹mšraj kratoàntai, kaˆ e„j tÕn 'Ap¦n mÁna le ¹mšrai.	perisseÚontai e„j ™ke‹no Ó ti sun»cqhsan ¢pÕ tÁj ¢rcÁj toà fstamšnou Farba<r>dˆn mhnÕj met¦ toà y»fou ˜k£stou mhnÕj toà parelqÒntoj l ¹mšrai. kaˆ af parelqoàsai ¹mšrai ¢pÕ toà ¢teleiètou mhnÕj perisseÚontai e„j ™ke‹no.	kat¦ mÁna af ¹mšrai ™ke…nou perisseÚontai oÛtwj æj ™tšqhsan ™n tù kanon…J.

εἴ τι εὑρεθῇ, ἡμέραι εἰσὶ τῶν χρόνων καὶ τῶν μηνῶν τοῦ ἔτους ἐκείνου. ἐκείνη ἡ ἡμέρα εἰς ἣν γίνεται ὁ ψῆφος, ἡ πρυτάνη τῆς τέχνης ταύτης εἰς τὴν δοκιμὴν ταύτην. ἑνοῦται εἰς τὰς ἡμέρας ἑκάστου ἔτους αἵτινες εὑρέθησαν.

το ἔτος τῶν Ἀράβων	τὸ ἔτος τῶν Ῥωμαίων	τὸ ἔτος τῶν Περσῶν		τὸ ἔτος τοῦ Ἐλκάνη
		πασιτά	καπισά	
πέντε	ἕν	δύο	δύο	οὐδέν

εἴ τι εὑρεθῇ εἰς τὰ $\overline{\zeta}$ μερίζεται ἤγουν ἀνὰ $\overline{\zeta}$ γίνεται τούτων ἀφαίρεσις. εἴ τι καταλειφθῇ, ἐὰν ἐξισοῦται ταῖς ἡμέραις ἐκείναις | τῆς ἑβδομάδος εἰς ἃς f91rL γίνεται ὁ ψῆφος, ὁ ψῆφος ὀρθός. εἰ δ' οὐκ ἐξισοῦται, ὁ ψῆφος οὐκ ἔστιν ὀρθός.

Τρίτη διαίρεσις. Εἰς τὸ γνώρισμα τῶν ἡμερῶν τῶν μὴ γινωσκομένων ἐτῶν ἀπὸ τῶν ἡμερῶν τῶν γινωσκομένων ἐτῶν.

Τοῦτο οὕτως ἐστὶ δυνατὸν εἰδέναι ἵνα φανῶσιν αἱ μέσον τῶν ἐτῶν ἐκείνων ἡμέραι. ἴσθι τοίνυν ὅτι αἱ μέσον τοῦ ἔτους τῶν Ῥωμαίων καὶ τῶν Ἀράβων ἡμέραι τόσαι· $\overline{\text{ΜΕ}\,\text{ΟΥΟΙ}}$, καὶ αἱ μέσον τοῦ ἔτους τῶν Ῥωμαίων καὶ τῶν Περσῶν πασιτὰ ἡμέραι τόσαι· $\overline{\text{ΜΕΜΕΜΒΕΕ}}$, καὶ αἱ μέσον τοῦ ἔτους τῶν Ῥωμαίων καὶ τοῦ Σουλτανικοῦ ἡμέραι τόσαι· $\overline{\text{ϡΟϛΜΕΟΙ}}$, καὶ αἱ μέσον τοῦ ἔτους τῶν Ἀράβων καὶ τῶν Περσῶν πασιτὰ ἡμέραι τόσαι· $\overline{\text{ΜϛΒΓ}}$. ὡσαύτως καὶ αἱ μέσον τοῦ ἔτους τῶν Ἀράβων καὶ τοῦ Σουλτανικοῦ ἡμέραι τόσαι·

$\overline{\text{ιϛϡοο}}$, καὶ αἱ μέσον δὲ τοῦ ἔτους τῶν Περσῶν καὶ τοῦ Σουλτανικοῦ τόσαι· $\overline{\text{ιϛϡοιι}}$. ἐκεῖνο τοίνυν τὸ ἐγνωσμένον ἔτος εἴπερ ἐστὶν πρῶτον αἱ ἡμέραι αὗται ἀπὸ τῶν ἡμερῶν τοῦ ἐγνωσμένου ἐκείνου ἔτους ἀφαιροῦνται, καὶ εὑρίσκονται αἱ ἡμέραι τοῦ μὴ ἐγνωσμένου ἐκείνου ἔτους. ἐὰν δὲ αἱ ἡμέραι τοῦ ἐγνωσμένου ἔτους ὑστεραῖον, αἱ μέσον τῶν $\overline{\beta}$ ἐτῶν ἡμέραι ἑνοῦνται ἐκείναις, καὶ εὑρίσκονται αἱ ἡμέραι τοῦ μὴ ἐγνωσμένου ἔτους.

Διαίρεσις δ΄. | Ἀνάβασις τῶν χρόνων καὶ τῶν μηνῶν. f91vL

Χρείας γενομένης γενέσθαι τὴν τέχνην ταύτην, τηροῦνται αἱ ἡμέραι ἐκεῖναι.

tÕ œtoj tîn 'Ar£bwn	tÕ œtoj tîn `Rwma…wn	tÕ œtoj tîn Persîn		tÕ œtoj toà `ElkanÁ
		pasit£	kapis£	
e„j t¦ l. e‡ ti eØreqÍ, e„j ˜ke‹no prost…qentai id. e‡ ti gšnhtai, mer…zetai e„j taàta: ١٥٦٣١.	e„j t¦ d. e‡ ti eØreqÍ, ˜noàntai toÚtoij b.kaˆ e‡ ti ™xšlqei, mer…zetai e„j taàta: ١٤٦١,	oÙdšn. mer…zetai e„j tÔsa: ٣٦٤,	e„j oÙdšn. diplasi£zontai kaˆ mer…zontai e„j[a] tÒson: ٩٥٨٨٤ e‡ ti ™xšlqV, ¹ t£xij ™stˆ tîn mhnîn ™ke…nwn toà kapis©. ™ke‹noj Ð m¾n ›kastoj l ¹mšrai kratoàntai. e‡ ti eØreqÍ, ™ke‹no ¢faire‹tai ¢pÕ toà y»fou ™ke…nou. e‡ ti kataleifqÍ, mer…zetai e„j tÒson: ٣٦٤,	mer…zetai e„j tÒson: ٨٥٣٤٣, ¢pÕ tÁj perisse…aj ˜noàntai ١٥٢. e‡ ti eØreqÍ, e„j t¦ ٢٢٥ .e„j goàn tÕ eØreqšn.

a e„ L

| εἴ τι ἐξέλθῃ ἀπὸ τῶν μερισμῶν τῶν ἡμερῶν ἐκείνων, χρόνοι εἰσὶ f44rV τετελειωμένοι ἑκάστου ἔτους. εἴ τι καταλειφθῇ, μερίζεται εἰς τόσον·

Ἀράβων	Ῥωμαίων	Περσῶν	Ἐλκανῇ
εἰς τριάκοντα	εἰς τέσσαρα	εἰς οὐδέν	εἰς τὰ σκ

εἴ τι ἐξέλθῃ ἀπὸ τῶν μοιρῶν, ἡμέραι εἰσίν. ταύτας μετὰ τῆς τάξεως ταύτης ἀπόλυε.

3 Ἀράβων... Ἐλκανῇ om. Vv | ἑλκανῇ L 3–4 Empty box between the third and fourth boxes Vv || 5 ἐξέλθει L

f93rL

'Ar£bwn[a]	`Rwma…wn[a]	Persîn[a]		'ElkanÁ[d,a]
		pasit£[a]	kapis£[a]	
e„j ›na mÁna ī ¹mšrai[e], kaˆ tÕ e„j ¥llon kq ¹mšrai[e] ¢e… ¹ ¦rc¾ d• ¢pÕ toà Moucar£m. kaˆ oÛtwj ¢r…qmei mšcri tšlouj.	kat¦ mÁna e‡ ti ™gšneto dÁlon ¢pÕ tîn ¹merîn ™ke…nou. g…netai ¹ ¢rc¾ ¢pÕ toà Tasir¾n[b] toà a/. ™¦n oÙ[c] kateleifqÍ ti ¢pÕ toà merismoà tîn d, Ð Soump¦t m¾n kq ¹mšraij[e] krate‹tai.	e„j ›kaston mhn tri£konta[f] kaˆ ¹ ¢rc¾ ¢pÕ toà Farba<r>d…n, kaˆ e„j tÕ Ôgdoon mÁna īe ¹mšrai[e].	e„j kaq' ›kaston mÁna ¹mšrai[g] tri£konta.	kat¦ mÁna tÒson oá Ð yÁfoj tîn ¹merîn ™gr£fh e„j tÕ kanÒnion. met¦ tÁj t£xewj oân taÚthj mšcri plhrèsewj toà crÒnou . ™¦n Ï oÛtwj tÕ kataleifqšn, kl£sma e„j tÕn ¹šteron yÁfon. plšon œni tîn ١٦٧, oátoj Ð crÒnoj kapis£. tÕ tšloj toà mÁnoj īa ¹mšrai. e‡ d' œlatton, kq

a. om. Vv | b. Tasirˆn Vv | c. oÙk ™katele…fqh L | d. ˜lkanÁ L | e. ¹mšraj Vv | f. ī L | g. ¹mšraj LV

εἴ τι καταλειφθῇ ἀπὸ τῶν ἡμερῶν, ἐὰν ᾖ ἔλαττον ἑνὸς μηνός, ἐκεῖναι αἱ ἡμέραι λέγονται ὁ ἀτελείωτος μὴν μετὰ τῆς ἡμέρας ἐκείνης καθ' ἣν γίνεται ὁ ψῆφος.

Κεφάλαιον τέταρτον. Περὶ τῆς καταλήψεως τῆς ἀρχῆς τῶν χρόνων καὶ τῶν μηνῶν τούτων τῶν ἐτῶν κατὰ ποίαν ἡμέραν | εἰσέρχονται τῆς ἑβδομάδος, καὶ f278vv
τῆς ἐκβολῆς τοῦ ἑνὸς ἔτους ἀπὸ τοῦ ἑτέρου διὰ τῶν κανονίων. | ἡ μέθοδος f92v L
αὕτη εἰς δύο διαιρεῖται.

Διαίρεσις α΄. Περὶ τῆς καταλήψεως τῆς ἀρχῆς τῶν χρόνων καὶ τῶν μηνῶν κατὰ ποίαν ἡμέραν εἰσέρχονται τῆς ἑβδομάδος διὰ τοῦ κανονίου.

Χρείας γενομένης εἰς τοῦτο, οἱ ἀτελεῖς χρόνοι τοῦ ἔτους ἐκείνου τίθενται
| εἰς τὴν ταῦλαν. καὶ ἐξ ἐκείνων ἀφαιροῦνται αἱ περιφοραί, ἤγουν ἀπὸ τοῦ f44v V
ἔτους τῶν Ἀράβων ἀφαιροῦνται ἀνὰ $\overline{\sigma\iota}$ $\overline{\sigma\iota}$. εἴ τι καταλειφθῇ, ζητεῖται εἰς τὰ δύο κανόνια τῶν χρόνων τῶν ἡνωμένων καὶ τῶν ἁπλῶν. εἴ τι εὑρεθῇ κατ' ἐναντίον ἐκείνων τῶν χρόνων τῶν δύο ἀπὸ τῶν ἡμερῶν τῆς ἑβδομάδος, κρατεῖται, καὶ ἐκεῖνο ἡμέρα τῆς ἑβδομάδος ἐστὶ τῆς ἀρχῆς τοῦ χρόνου. οὗτος δὲ ὁ ψῆφος τότε ἐστὶν ὀρθὸς ἡνίκα οἱ καταλειφθέντες χρόνοι εὑρεθῶσι καὶ εἰς

3 δ΄ Vv ‖ 4 ἑβδομάδος + διὰ τοῦ κανονίου v ‖ 5 ἑτέρου] β΄ (?) L ‖ 12 β΄ V ‖ 13 τῶν χρόνων ἐκείνων τὰ δύο Vv ‖ 14 ἡμέραι L ‖ 15 ἔστιν ὁ ψῆφος τότε v

τὰ δύο κανόνια. ὅτε δὲ μὴ εὑρεθῶσι καὶ εἰς τὰ δύο κανόνια, $\overline{\lambda}$ ἐξ ἐκείνων τῶν καταλειφθέντων χρόνων ἀφαιροῦνται. εἴ τι καταλειφθῇ, κατ' ἐναντίον ἐκείνου γίνεται εἰσέλευσις εἰς τὰ κανόνια τῶν ἡνωμένων χρόνων. καὶ κατ' ἐναντίον τῶν $\overline{\lambda}$ ἐκείνων τῶν ἀφαιρεθέντων, γίνεται εἰσέλευσις εἰς τὰ κανόνια τῶν ἁπλῶν ἐτῶν. καὶ γίνεται ἔπειτα ὡς ἐρρέθη. καὶ διὰ τοὺς μῆνας δὲ ὡσαύτως γίνεται εἰσέλευσις κατ' ἐναντίον τῶν μηνῶν εἰς τὰ κανόνια ἐκείνων, καὶ κρατοῦνται αἱ ἡμέραι τῆς ἑβδομάδος. | εἴ τι εὑρεθῇ, ἐκεῖνο ἑνοῦται μετὰ τῶν ἡμερῶν τῆς f93rL
ἑβδομάδος τῆς ἀρχῆς τῶν χρόνων. καὶ εὑρίσκεται ἡ ἡμέρα τῆς ἀρχῆς τοῦ μηνὸς ἐκείνου.

Τὸ ἔτος τῶν Ῥωμαίων.

Αἱ περιφοραὶ ἐξ ἐκείνου ἀφαιροῦνται, ἤγουν ἀνὰ $\overline{\kappa\eta}$ $\overline{\kappa\eta}$ γίνεται τούτων ἀφαίρεσις. εἴ τι καταλειφθῇ, ἐκεῖνο εἰς τὸ κανόνιον ζητεῖται τοῦ ἀνὰ $\overline{\alpha}$ χρόνου. ἐκεῖνο ἐὰν εὑρεθῇ διὰ μέλανος, χρόνος τοῦ πασιτᾶ, εἰ δὲ διὰ κοκκίνου, χρόνος τοῦ καπισᾶ. εἶτα κατ' ἐναντίον τούτου· εἴ τι εὑρεθῇ, αἱ ἡμέραι τῆς ἑβδομάδος κρατοῦνται. ἐκεῖναι οὖν αἱ ἡμέραι τῆς ἑβδομάδος ἡ ἀρχή ἐστι τοῦ χρόνου ἐκείνου. εἰ οὖν βούλεταί τις εἰδέναι τὰς ἡμέρας | τῆς ἀρχῆς ἑκάστου μηνός, ἐὰν ὁ χρόνος πασιτά, κατ' ἐναντίον τῶν μηνῶν f45rV

---

1 $\overline{\beta}$ L | μὴ] οὐχ L | $\overline{\beta}$ L | κανόνια om. Vv ‖ 3 ἡμωμένων ut vid. v ‖ 4–5 κανόνια ... ἐτῶν] ἁπλᾶ ἔτη L ‖ 5 καὶ γίνεται ἔπειτα] εἶτα γίνεται Vv | εἴρηται Vv ‖ 16 τὰς] τῆς Vv

τοῦ πασιτᾶ γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον. εἰ δὲ ὁ χρόνος καπισά, κατ' ἐναντίον τῶν μηνῶν τοῦ καπισᾶ γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον. καὶ κατ' ἐναντίον ἐκείνου αἱ ἡμέραι τῆς ἑβδομάδος κρατοῦνται. ἐκεῖνο εἰς τὰς ἡμέρας τῆς ἑβδομάδος εἰς τὴν ἀρχὴν τοῦ χρόνου προστίθεται, καὶ εὑρίσκεται ἡ ἡμέρα τῆς ἀρχῆς τοῦ μηνός.

Τὸ ἔτος τῶν Περσῶν.

Διὰ τὸ ἔτος τῶν Περσῶν πασιτὰ αἱ περιφοραὶ τούτου ἀνὰ $\overline{\zeta}$ $\overline{\zeta}$ ἀφαιροῦνται. εἴ τι καταλειφθῇ, ζητεῖται εἰς τὸ κανόνιον. ἔνθα οὖν εὑρεθῇ ἐκεῖνο, ἔστιν ἡ ἡμέρα ἡ ἀρχὴ τοῦ χρόνου τοῦ ἔτους ἐκείνου. καὶ ἡ ἀρχὴ δὲ τοῦ μηνὸς | οὕτω καταλαμβάνεται ὡς ἐρρέθη κἀν τοῖς ἄλλοις τῶν Ἀράβων καὶ τῶν f93vL Ῥωμαίων. | περὶ τοῦ ἔτους τῶν Περσῶν καπισᾶ εἴρηται πρότερον εἰς τὸ f279rv τέλος τοῦ δευτέρου κεφαλαίου. καὶ ἐκεῖθεν γίνεται ἡ κατάληψις τούτου.

Ἔτος Σουλτανικόν.

Αἱ περιφοραὶ τούτου ἀφαιροῦνται ἀνὰ $\overline{\sigma\kappa}$ $\overline{\sigma\kappa}$. εἴ τι καταλειφθῇ, ἓν ἐξ ἐκείνου ἀφαιρεῖται. εἶτα κατ' ἐναντίον τῶν καταλειφθέντων γίνεται εἰσέλευσις εἰς τὰ κανόνια. κατ' ἐναντίον τοῦ ἑνὸς χρόνου καὶ τῶν $\overline{\iota}$ χρόνων καὶ τῶν

9 ἐκείνου] τούτου Vv ‖ 10 ἄλλοις + τῶ Vv | τῶν² om. Vv ‖ 11 περὶ τοῦ ἔτους] διὰ τὸ ἔτος L ‖ 12 β΄ v ‖ 14 ἓν] α΄ Vv ‖ 16 α sup. ἑνὸς V | ι sup. δέκα V | χρόνων om. Vv

$\overline{\rho}$, καὶ κρατοῦνται αἱ ἡμέραι τῆς ἑβδομάδος. εἴ τι εὑρεθῇ, ἡ μία ἡμέρα, $\overline{\rho\beta}$ τεμμάχια ἑνοῦνται τούτῳ. εἰ δ' ἐκεῖνο τὸ τεμμάχιον γίνεται πλέον τῶν $\overline{\sigma\kappa}$, τὰ $\overline{\sigma\kappa}$ ἀφαιροῦνται ἐξ ἐκείνου. καὶ διὰ τὰ $\overline{\sigma\kappa}$ ἓν περισσεύεται εἰς τὰς ἡμέρας ἐκείνας. εἴ τι καταλειφθῇ ἀπὸ τῶν τεμμαχίων, τηρεῖται πόσον. εἴπερ ἐστὶ πλέον τῶν $\overline{\rho\xi\zeta}$, γίνεται δῆλον ὅτι ὁ ἐρχόμενος χρόνος καπισά, εἰ δὲ ἔλαττον τούτων, πασιτά. | ἐκεῖνο δὲ τὸ τεμμάχιον εἴπερ ἔνι ἔλαττον τῶν $\overline{\nu\epsilon}$, ἡ ἀρχὴ f45vV
τοῦ χρόνου ἐξ ἐκείνων ἐστὶ τῶν ἡμερῶν τῆς ἑβδομάδος. εἰ δὲ πλέον τῶν $\overline{\nu\epsilon}$, ἡ ἀρχὴ τοῦ χρόνου ἀπὸ τῶν ἄλλων ἐστὶν ἡμερῶν τῆς ἑβδομάδος. ἔτι εἰ ἔλαττόν ἐστι τῶν $\overline{\nu\epsilon}$, ἡ ἀρχὴ τοῦ χρόνου ἡ ἡμέρα ἐκείνη ἐστὶν ἡ ἐξελθοῦσα. εἰ δ' ἔνι τὸ τεμμάχιον | πλέον τῶν $\overline{\nu\epsilon}$, ἡ ἀρχὴ τοῦ χρόνου ἀπὸ τῆς ἡμέρας ἐκείνης ἐστὶ f94rL
τῆς ἐρχομένης. $\overline{\alpha}$ οὖν ἑνοῦται ταῖς ἡμέραις ταύταις. εἰ δέ εἰσιν αἱ ἡμέραι πλέον τῶν $\overline{\zeta}$, ἀνὰ $\overline{\zeta}$ γίνεται τούτων ἀφαίρεσις.

Ὅτε γίνεται χρεία περὶ τῆς καταλήψεως τῆς ἀρχῆς ἑκάστου μηνός, τηρεῖται ἡ ἀρχὴ τοῦ χρόνου κατὰ ποίαν ἐστὶν ἡμέραν τῆς ἑβδομάδος. αὕτη ἄνω τοῦ κανονίου ζητεῖται. κατ' ἐναντίον οὖν ἐκείνου τοῦ μηνὸς γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον. καὶ κατ' ἐναντίον τῶν δύο εἴ τι εὑρεθῇ, ἐκείνη ἡ ἡμέρα ἐστὶν ἡ ἀρχὴ τοῦ μηνὸς ἐκείνου.

---

1 ρ sup. ἕκατον V ‖ 2 δὲ Vv | γένηται L ‖ 7 ἡμερῶν + τῶν Vv, τῶν sup. lin. L ‖ 10 ἐστὶν ἐκείνης Vv ‖ 13 ὅτε γίνεται χρεία om. Vv ‖ 14 τοῦ χρόνου om. Vv ‖ 15 καIΝάυ^{N} v, κανονίου in marg. v ‖ 16 $\overline{\beta}$ L

Διαίρεσις δευτέρα. Περὶ τῆς ἐκβολῆς τοῦ ἔτους τῶν Ῥωμαίων, τῶν Περσῶν καὶ τοῦ Σουλτανικοῦ ἀπὸ τοῦ ἔτους τῶν Ἀράβων διὰ τοῦ κανονίου.

Πρὸ τῆς ἐργασίας ταύτης καταλαμβάνονται οἱ χρόνοι πάντες τῶν Ἀράβων καὶ τίθενται ἐν τῇ ταύλᾳ, καὶ οἱ τετελειωμένοι αὖθις μῆνες ὑπ' ἐκείνους, καὶ αἱ παρελθοῦσαι δὲ ἡμέραι ἀπὸ τοῦ ἀτελειώτου μηνὸς μετὰ τοῦ μέσου τῶν εἰς τὴν ἀρχὴν τῶν ἡμερῶν ψήφου. καὶ γὰρ αἱ ἀτελείωτοι ἡμέραι τοῦ μηνὸς μετὰ τοῦ μέσου ἐκείνου ψήφου ὀρθοῦνται, οὐχὶ διὰ τῆς ὄψεως. τίθενται ὑπὸ τὸν μῆνα. εἶτα κατ' ἐναντίον τῶν τετελειωμένων ἐκείνων μηνῶν κρατοῦνται αἱ συνηγμέναι ἡμέραι, καὶ τίθενται ὑπὸ τὰς πρότερον κρατηθείσας ἡμέρας. ἔπειτα οἱ μῆνες ἐκεῖνοι καταλιμπάνονται τῶν ἡμερῶν ἐνωθεισῶν, καὶ ἐναπολιμπάνονται f94vL
οἱ τετελειωμένοι | χρόνοι τῶν Ἀράβων ἄνω | μετὰ τῶν παρελθουσῶν ἡμερῶν f46rV,f279vv
ἀπὸ τοῦ ἀτελειώτου χρόνου. εἶτα γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον τῶν τριακονταετηρίδων τοῦ ἔτους τῶν Ἀράβων, καὶ ζητοῦνται οἱ τετελειωμένοι τούτων χρόνοι. ἐὰν οὖν εὑρεθῇ ἐκεῖ ὅμοιος τούτοις ψῆφος, ἔστω. εἰ δ' οὐχ εὑρεθῇ, ζητεῖται ψῆφος ἐλάττων ἐκείνων καὶ ἐγγύτερον τῶν τεθέντων εἰς τὴν ταῦλαν, καὶ κατ' ἐναντίον ἐκείνου τοῦ ψήφου γίνεται εἰσέλευσις. καὶ οἱ χρόνοι κρατοῦνται οἱ τετελειωμένοι τοῦ ἔτους τῶν Περσῶν ἢ τῶν Ῥωμαίων ἢ οἱ Σουλτανικοί. κατ' ἐναντίον δὲ καὶ ἔμπροσθεν τῶν χρόνων κρατοῦνται αἱ ἡμέραι. καὶ τίθενται εἰς τὴν ταῦλαν οἱ χρόνοι ἄνω καὶ αἱ

1 ππερὶ V ‖ 13 $\bar{\lambda}$ ετηρίδων L ‖ 17 οἱ χρόνοι ... τετελειωμένοι] κρατοῦνται οἱ τετελειωμένοι χρόνοι Vv ‖ 19 τὴν om. Vv

ἡμέραι κάτωθεν. εἶτα οἱ χρόνοι τῶν Ἀράβων ἀφ' ὧν γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον ἀφαιροῦνται ἀπὸ τῶν χρόνων ἐκείνων τῶν τεθέντων πρότερον ἐν τῇ ταύλᾳ. εἴ τι οὖν καταλειφθῇ, κατ' ἐναντίον ἐκείνου γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον τῶν ἁπλῶν ἐτῶν τῶν Ἀράβων, καὶ κρατοῦνται οἱ χρόνοι καὶ αἱ ἡμέραι, καὶ ἑνοῦνται μετὰ τῶν χρόνων ἐκείνων καὶ τῶν ἡμερῶν τῶν ἀπὸ τῶν τριακονταετηρίδων κρατηθέντων. εἶτα αἱ ἡμέραι ἐκεῖναι τοῦ ἔτους τῶν Ἀράβων ἑνοῦνται ταῖς ἡμέραις ἑκάστου | ἔτους ἀπὸ τῶν τριῶν, ἤγουν f95rL ἑκάστου ἔτους ἡμέραι ἑνοῦνται τῷ ἔτει τῶν Ἀράβων οὗ ἐστι χρεία. εἶτα τηρεῖται. ἐὰν αἱ ἡμέραι τῶν ἐτῶν ἐκείνων ὑπερβαίνουσι τὰ $\overline{\text{ϡϛϡ}}$, ταῦτα ἀφαιροῦνται ἀπὸ τῶν ἡμερῶν, καὶ $\overline{\alpha}$ ἑνοῦται εἰς τοὺς χρόνους. εἴ τι οὖν εὑρεθῇ, χρόνοι εἰσὶ τετελειωμένοι. οἷον δὲ ἄρα ἐστὶν ἔτος $\overline{\alpha}$ ἀεὶ ἑνοῦται ἐκείνῳ. καὶ εὑρίσκονται οἱ ἀτελείωτοι χρόνοι τοῦ ἔτους ἐκείνου. ἐκεῖναι οὖν αἱ ἡμέραι αἱ καταλειφθεῖσαι | τοῦ ἔτους ἐκείνου τηροῦνται. καὶ κατ' ἐναντίον f46vV τῶν ἡμερῶν ἐκείνων γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον τῶν ἡμερῶν καὶ τῶν μηνῶν οἷς γίνεται χρεία. ἐὰν οὖν οὐχ εὑρεθῇ ἐκεῖ ὁ ψῆφος οὗτος, ζητεῖται ψῆφος ἐλάττων καὶ ἐγγύτερον τούτου. καὶ κατ' ἐναντίον τοῦ ψήφου ἐκείνου τηρεῖται ποῖος μὴν εὑρέθη. οὗτος οὐ κρατεῖται ἀλλ' ὁ ὄπισθεν ἐκείνου, καὶ τίθεται ὑπὸ τοὺς χρόνους τοὺς ἐν τῇ ταύλᾳ. εἶτα αἱ εὑρεθεῖσαι ἡμέραι ἐν τῷ κανονίῳ ἀφαιροῦνται ἀπὸ τῶν κρατουμένων ἡμερῶν. εἴ τι οὖν καταλειφθῇ,

5 καὶ[3] om. v ‖ 6 $\overline{\lambda}$ ἐτηρίδων L ‖ 9 $\overline{\text{τξε}}$ sup. $\overline{\text{ϡϛϡ}}$ Vv ‖ 15 χρεία + νῦν L

τίθεται ὑπὸ τοὺς μῆνας ἐκείνους. εἰ δ' οὐ καταλειφθῇ τι, ἀεὶ ἓν προστίθεται ὑπὸ τοὺς μῆνας. |εἴ τι οὖν εὑρεθῇ, χρόνοι, μῆνες καὶ ἡμέραι εἰσὶ τοῦ ἔτους 280rv ἐκείνου.

Τὸ ἔτος τῶν Περσῶν πασιτὰ |ἐγένετο δῆλον. δεῖ οὖν εἰδέναι καὶ τὸ ἔτος f95vL τῶν Περσῶν καπισά. οἱ τετελειωμένοι χρόνοι τῶν Περσῶν τίθενται εἰς τὴν ταῦλαν, καὶ ͵αβ̅α̅ ἐνοῦνται τούτοις. εἴ τι γένηται, μερίζεται εἰς τόσον· ͵αβ̅α̅ϲ̅ . εἴ τι οὖν ἐξέλθῃ, μῆνές εἰσι τοῦ καπισᾶ μετὰ τῆς τάξεως ἐκείνης ἤγουν τῆς ἀπαριθμήσεως τούτων ἀπὸ τοῦ Ἀδὰρ μηνός. ἔνθα δὲ λήξει ὁ ψῆφος καὶ αἱ κλοπιμαῖαι ε̅ ἡμέραι εἰς τὸ τέλος ἐκείνου τίθενται. ἐκεῖνος δὲ ὁ πρὸ ἐκείνου μήν, εἴπερ ἐστὶ κατ' ἐναντίον ἐκείνου μετὰ τοῦ μηνὸς τοῦ Φαρβαρδὶν τοῦ ἱσταμένου.

Κεφάλαιον ε΄. Περὶ τῆς καταλήψεως τοῦ πάσχα ἑκάστου ἔθνους καὶ τῶν δήλων καὶ μεγίστων ἡμερῶν.

Ἀπὸ τῶν δήλων τούτων ἡμερῶν ἐστί τι δῆλον εἰς τὰς ἡμέρας τοῦ μηνὸς καὶ ἀκίνητον ἀεὶ κατὰ τὸν ἴδιον τόπον ἱστάμενον, καὶ ἔστι τι ὃ γίνεται δῆλον ἀπὸ τῶν ἡμερῶν |τοῦ μὴ ἱσταμένου μηνὸς διὰ τὰς ἡμέρας τῆς ἑβδομάδος, ἕτερον f47rV δὲ ὅτι γίνεται δῆλον μετὰ τῶν χρόνων ἅμα τοῦ ἡλίου καὶ τῆς σελήνης, ἄλλο

1 α̅ Vv ‖ 2 οὖν om. Vv | χρόνος corr. in χρόνοι v ‖ 6 ρκα sup. ͵αβ̅α̅ V, in marg. v | ρκδ sup. ͵αβ̅α̅ϲ̅ Vv ‖ 7 ἤγουν + τοῦ ποιήσασθαι L 7–8 τὴν ἀπαρίθμησιν L ‖ 10 φαρβαδὶν L

δὲ ἔνι δῆλον εἰς τοὺς $\overline{\beta}$ τούτους χρόνους μετὰ τῶν ἡμερῶν τῆς ἑβδομάδος. τοῦτο οὖν τὸ κεφάλαιον εἰς $\overline{\zeta}$ διαιρεῖται.

Διαίρεσις α΄. Περὶ τῆς καταλήψεως τῶν καιρῶν καὶ τῆς ἐκβολῆς τῶν $\overline{\kappa\eta}$ μονῶν τῆς σελήνης.

Αἱ μοναὶ ἐκεῖναι εἰς τὸν ζῳδιακὸν κύκλον πᾶσαι ἴσαί εἰσιν. ἡ ἀρχὴ οὖν | τῆς κινήσεως τῶν μονῶν ἐκείνων ἀπὸ τῆς ἀρχῆς ἐστι τοῦ Κριοῦ. τὰ πρόσωπα f96rL δὲ τῶν μονῶν τούτων ἀπὸ τῶν ἀπλανῶν ἐκείνων ἀστέρων εἰσίν, τὰ πρόσωπα δὲ τῶν ἀστέρων ἐκείνων οὐκ εἰσὶν ὅμοια, ἀλλὰ καὶ ὁ τόπος τούτων οὐκ ἔστι κατ' ἐναντίον. εἰς τοὺς καιροὺς δὲ ὅταν ἐξέρχωνται οὗτοι, ἤγουν ὁπόταν ἀπὸ τοῦ ἡλίου διισταμένου φαίνωνται, ἡ πρώτη μονὴ εἰς τὸ ἔτος τὸ $\overline{\text{ϡϡϡϡ}}$ τῶν Ῥωμαίων ἡμέρᾳ κβ΄ εἰς μῆνα τὸν Νισὰν ἐξήρχετο. μετὰ οὖν $\overline{\iota\gamma}$ ἡμέρας ἡ ἑτέρα μονὴ ἐξήρχετο, κατὰ τὴν αὐτὴν τάξιν καὶ αἱ ἕτεραι μοναὶ μετὰ $\overline{\iota\gamma}$ ἡμέρας ἐξήρχοντο. ἡ ιε΄ μονὴ ἧς τὸ ὄνομα Γάφιρ εἰς τὰς $\overline{\iota\delta}$ ἡμέρας ἐξέρχεται, καὶ αὖθις αἱ ἕτεραι μοναὶ ἀπ' ἐκείνου, μετὰ τὰς $\overline{\iota\gamma}$ ἡμέρας ἐξέρχεται ἑκάστη. τοῦτο τοίνυν τὸ λεχθὲν εἰς τὸν χρόνον ἐστὶ τοῦ πασιτᾶ. εἰς δὲ τὸν χρόνον τοῦ καπισᾶ ἡ ια΄ μονή — τὸ ὄνομα ταύτης Ζουμπρά — εἰς τὰς $\overline{\iota\delta}$ ἡμέρας ἐξέρχεται. ὁπόταν οὖν ἡ μία μονὴ ἐξέλθῃ ἀπὸ τῆς ἀνατολῆς, ἡ μονὴ ἐκείνη ἡ ιε΄ δύνει. αὗται αἱ μοναὶ ἐτέθησαν εἰς τὸ κανόνιον εἰς τὴν ὥραν ἡνίκα

5 μοῖραι codd. ‖ 6 μοιρῶν codd. | ἀρχῆς om. L, spat. ca. 4 1.4. ‖ 9 ἐξέρχονται L | ὁπόταν] ὅταν Vv ‖ 10 φαίνονται L | τὸ² om. L | $\overline{\text{ϡϡϡϡ}}$ v ‖ 11 νισσὰν v ‖ 13–14 ἐξήρχοντο . . . ἡμέρας om. Vv ‖ 16 ζομπρά L ‖ 18 αἱ sup. lin. L

ἀνατέλλει | ἑκάστη, ἀφ' οὗ κανονίου καταλαμβάνονται. f280vv

Διαίρεσις δευτέρα. Περὶ τῆς καταλήψεως τῆς μεγάλης νηστείας τῶν Χριστιανῶν.

Ἡ ἀρχὴ ταύτης πάντοτε δευτέρᾳ | ἐστίν. ἐκείνη ἡ δευτέρα ὀφείλει f47vV
ἐγγύτερον | εἶναι τῆς συνόδου τοῦ ἡλίου καὶ τῆς σελήνης, ἐκείνης τῆς f96vL
συνόδου ἥτις ἐστὶν ἀπὸ τῆς β´ τοῦ Σουμπὰτ μέχρι τῆς ή´ τοῦ Ἀδάρ. καὶ ἀπὸ τούτων πλέον οὐχ ὑπερβαίνει. εἰ δ' ἔστιν ὁ χρόνος καπισά, καὶ ἀπὸ τῆς γ´ τοῦ Σουμπὰτ μέχρι τῆς ή´ τοῦ Ἀδὰρ ὀφείλει εἶναι ἡ συνόδος. εἰ δὲ εἰς τὴν δευτέραν ταύτην πρὸ τῆς β´ τοῦ Σουμπὰτ γένηται ἡ σύνοδος, ἐκείνη ἡ σύνοδος οὐ κρατεῖται, ἀλλὰ καταλιμπάνεται. καὶ ζητεῖται ἑτέρα σύνοδος ἡ μετ' ἐκείνην. εἶτα κρατεῖται ἡ ἐγγυτέρα ταύτης τῆς συνόδου δευτέρα καὶ ἐκείνη ἐστὶν ἡ δευτέρα τῆς μεγάλης νηστείας. οὗτος δὲ ὁ ψῆφος ἀπὸ τοῦ αὐθημερινοῦ γίνεται. εἰ δὲ δεήσει καταληφθῆναι τοῦτο ἀπὸ τῆς συντάξεως, ἐκεῖ ἐτέθη κανόνιον ἀφ' οὗ καταλαμβάνεται ἡ νηστεία.

Διαίρεσις γ´ · Περὶ τῆς καταλήψεως τῶν μεγάλων ἡμερῶν τῶν ἀναφανεισῶν

2 β´ L, V ‖ 4 ταύτης om. L | ἐστίν om. Vv | $\overline{\beta}$ L ‖ 5 εἶναι om. L | τοῦ om. Vv | τῆς^2 om. Vv ‖ 6 τῆς^1] τῶν LVv | τοῦ om. L | τῆς^2] τῶν LVv ‖ 7 δέ ἐστιν L | τῆς] τῶν LVv ‖ 8 τριῶν v | τῆς] τῶν LVv | τοῦ^2 om. L ‖ 9 τῆς] τῶν LVv | Σουμπὰτ + ἤτοι τοῦ φεβρουαρίου Vv | ἡ om. Vv ‖ 10 οὐ — ἀλλὰ om. Vv 10–11 ἑτέρα . . . ἐκείνην] ἡ μετ' ἐκείνην σύνοδος Vv ‖ 404 .15 –405.1 τῶν^2 . . . νηστείαν] αἳ εἰς τὴν νηστείαν ἀναφαίνονται Vv

εἰς τὴν νηστείαν ταύτην .

Ἴσθι ὅτι πρὸ τῆς δευτέρας τῆς νηστείας ταύτης $\overline{\kappa\beta}$ ἡμέρας ἐστὶν ἡ νηστεία τῆς Νινευΐ, ἥτις γ΄ ἡμέρα ἐστίν, καὶ τὸ πάσχα ἐκείνης ε΄. καὶ ὕστερον τῆς μεγάλης νηστείας $\overline{\kappa\delta}$ ἡμέρας ἡ νηστεία λέγεται τοῦ Φαρούχ, ἥτις ἐστὶν ἀεὶ δ΄. καὶ εἰς τὴν μεγάλην αὖθις νηστείαν μετὰ ἡμέρας $\overline{\mu\beta}$ ἡ ἡμέρα ἐστὶ τῶν βαΐων. καὶ μετὰ ἡμέρας $\overline{\mu\theta}$ ἡ πασχαλία. ἐκείνη ἡ ἡμέρα ἀεὶ κυριακή, καὶ ἡ πρὸ τῆς τοῦ πάσχα ἡμέρας ε΄ ἡ μεγάλη πέμπτη. καὶ ἡ μετ' αὐτὴν παρασκευὴ ἡ σταύρωσις τοῦ Χριστοῦ. καὶ ἡ μετὰ τὴν | πασχαλίαν παρασκευὴ ἡ μικρὰ βαϊοφόρος. f97rL
ἐκείνη λέγεται παρασκευὴ τῶν ἁγίων. καὶ ὕστερον τοῦ πάσχα μετὰ ἡμέρας $\overline{\mu}$ ἡ ἀνάληψις τοῦ Χριστοῦ. καὶ μετὰ τὴν ἀνάληψιν $\overline{\iota\alpha}$ ἡμέρας ἡ ἑορτὴ τοῦ Ἁγίου Πνεύματος. καὶ ἡ μετὰ τὴν ἑορτὴν τοῦ πάσχα κυριακὴ ἡμέρα λέγεται τῆς διαλέξεως ἢ τοῦ Θωμᾶ. καὶ ἐκείνη ἡ β΄ ἡ μετὰ τὴν πεντηκοστὴν νηστεία λέγεται τοῦ Σελέχ. καὶ ἡ μετ' αὐτὴν παρασκευὴ χρυσῆ λέγεται παρασκευή. καὶ ἐκείνη ἡ νηστεία τοῦ Σελὲχ ἡμέρας $\overline{\mu\eta}$, καὶ ἀπὸ τῆς νηστείας ταύτης ἡμέρα μθ΄ | πάσχα λέγεται τοῦ Σελέχ. ἐκείνη ἀεὶ κυριακή. καὶ μετ' αὐτὴν f48rV

---

2 ἴσθι ὅτι om. Vv | ὅτι + ἐκείνη ἡμέρα δευτέρα L | τῆς[1] — νηστείας om. L | ἡμέρα L | ἐστὶν om. Vv ‖ 3 ἥτις ... ἐστίν] ἡμέρα γ΄ Vv | ἐκεῖνο codd. 3–4 ὕστερον ... δ΄] μετὰ ταύτην τὴν νηστείαν ἡμέρας (ἡμέραι v) $\overline{\kappa\delta}$ ἡ νηστεία λέγεται τοῦ φαροὺχ ἡμέρας δ΄ Vv ‖ 4 ἡ νηστεία om. L ‖ 5 καὶ εἰς] εἰς δὲ Vv | αὖθις om. Vv | ἡ om. L | ἐστὶ om. Vv ‖ 6 ἡμέρας om. Vv | ἀεὶ + ἡ et cancell. v ‖ 7 ε΄] πέμπτη V ‖ 8 ἡ[2] om. L ‖ 9 ἐκείνη ... ἁγίων] ἡ τῶν ἁγίων λεγομένη Vv | ὕστερον τοῦ πάσχα om. Vv 9–10 $\overline{\mu}$ ἡμέρας Vv ‖ 11 καὶ om. Vv ‖ 12 καὶ ... β΄ om. Vv | πεντηκοστὴν + δευτέρα ἡ Vv ‖ 13 λέγεται om. Vv | παρασκευή[2] om. Vv ‖ 14 καὶ ... Σελὲχ] ἡ δὲ νηστεία αὕτη Vv | τῆς νηστείας om. Vv ‖ 15 ἡμέρα] ἡμέρας codd. | κυριακή] α΄ Vv | μετ' αὐτὴν] ὕστερον μετὰ τὴν πασχαλίαν ταύτην L

ἡμέρας $\overline{\text{ιγ}}$ ἡ πασχαλία ἡ λεγομένη ἐστὶ δουκράνη Μαρμαρῆ. καὶ ὕστερον τῆς πασχαλίας τοῦ Σελεχεὶμ ἡμέρας $\overline{\text{ν}}$ ἡ νηστεία τοῦ Ἡλίου. ἐκείνη ἡ ἡμέρα ἀεὶ δευτέρα. καὶ αὕτη ἡ νηστεία ἡμέρας $\overline{\text{μη}}$, καὶ ἡ μθ΄ ἡ ἡμέρα τῆς πασχαλίας.

Διαίρεσις δ΄. Περὶ τῶν ἡμερῶν τοῦ πάσχα τῶν Μουσουλμάνων καὶ τῶν μεγάλων ἡμερῶν ἐκείνων.

Μουχαράμ

Ἡ α΄ μεγάλη παρ' ἐκείνοις ὡς ἀρχὴ τοῦ χρόνου ἐκείνων.

Ἡ θ΄ καθ' ἣν ὁ υἱὸς τοῦ Ἀλῆ συνῆψε πόλεμον μετὰ τοῦ Ἰαζίτ.

Ἡ ι΄ καθ' ἣν ὁ Ἰαζὶτ ἐφόνευσε τὸν υἱὸν τοῦ Ἀλῆ.

Ἡ ις΄. ἡ γενομένη προσκύνησις ἀντικρὺ τῶν Ἱεροσολύμων.

Ἡ ιζ΄ ὅτε διὰ τῶν |ἐλεφάντων ἐγένετο ἐπιβολὴ κατὰ τῶν | Ἱεροσολύμων. f281rv, f97vL

Σαφάρ

Ἡ α΄ καθ' ἣν εἰς Δαμασκὸν εἰσήχθη ἡ κεφαλὴ τοῦ υἱοῦ τοῦ Ἀλῆ.

Ἡ ις΄. ἡ ἀσθενεία τοῦ ἀσεβοῦς Μωάμεθ.

Ἡ κ΄ ὅτε αὖθις ἐπανεστράφη ἡ κεφαλὴ τοῦ υἱοῦ τοῦ Ἀλῆ ἔνθα ἐφονεύθη.

Ἡ κδ΄. ἡ μετὰ τὴν φυγὴν ἐκβολὴ ἀπὸ τῶν ὀρέων τῶν ἀσεβῶν τοῦ Μωάμεθ

1 ἡ^1...λεγομένη] καὶ ἐκείνη ἡμέρα ἐστὶ τῆς πασχαλίας ἥτις λέγεται L 1–2 ὕστερον τῆς πασχαλίας] μετὰ τὴν νηστείαν Vv ‖ 2 σελὲχ Vv | $\overline{\text{ν}}$ ἡμέρας L 2–3 ἡμέρα ἀεὶ δευτέρα] ἀεὶ ἡμέρα β΄ L ‖ 8 ὁ ...πόλεμον] συνῆψε πόλεμον ὁ υἱὸς τοῦ ἀλῆ Vv ‖ 9 καθ' ἣν] ὅτι Vv ‖ 10 ἡ^1] τῇ L | προσκύνησις + κατ' Vv ‖ 11 ἡ] τῇ L | ἐπιβουλὴ LV ‖ 13 ἡ^1] τῇ L | καθ' ἣν] ὅτε Vv ‖ 14 ἡ^1] τῇ Vv | εὐσεβοῦς sup. ἀσεβοῦς L^2 ‖ 16 εὐσεβῶν sup. ἀσεβῶν L^2

καὶ τοῦ Ἀμπουπάκη.

Ῥαμπιὰλ ἀουάλ

Ἡ α΄. ὁ θάνατος τοῦ ἀσεβοῦς Μωάμεθ.

Ἡ γ΄. ἡ εἰς τὸν σκοτεινὸν τάφον εἰσέλευσις τοῦ ἀσεβοῦς ἐν τῇ οἰκίᾳ τῆς αὐτοῦ γαμητῆς.

Ἡ η΄. ἡ εἰς τὴν Μαδιναίαν ἄφιξις τοῦ ἀσεβοῦς.

Ἡ ι΄ καθ' ἣν ἐμίγη τῇ κυρίᾳ αὐτοῦ τῇ Χαδ[δ]ιτζᾶ.

Ἡ ιβ΄. ἡ γέννησις τοῦ ἀσεβοῦς.

Ἡ ιδ΄. ὁ θάνατος τοῦ Ἰαζίτ.

Ῥαμπιαλάχειρ

Ἡ γ΄. ⟨ἡ⟩ κατάκαυσις παρὰ τοῦ Ἀντζὰτ τοῦ Μακκᾶ.

Ἡ ιδ΄. ἡ προσευχὴ τῶν ἀπερχομένων εἴς τινα τόπον ἢ μενόντων οἴκοι.

Νταζμὰτ οὔλε

Ἡ η΄. ἡ γέννησις τοῦ Ἀλῆ τοῦ Ἀμπιταλῆ.

Ἡ ιε΄. ὁ διὰ καμήλων πόλεμος.

Ντζαμὰν ἀλάχειρ

Ἡ γ΄. ὁ θάνατος τῆς θυγατρὸς τοῦ ἀσεβοῦς τῆς Φατμᾶς.

---

3 εὐσεβοῦς sup. ἀσεβοῦς L^2 ‖ 4 ἡ^2 sup. lin. v | σκοτεινὸν om. Vv | φωταυγὲς sup. σκοτεινὸν L^2 | εὐσεβοῦς sup. ἀσεβοῦς L^2 ‖ 5 μακαρίας συμβίης sup. γαμητῆς L^2 ‖ 6 εὐσεβοῦς sup. ἀσεβοῦς L^2 ‖ 7 χαδιτζᾶ L ‖ 8 εὐσεβοῦς sup. ἀσεβοῦς L^2 ‖ 9 ἰαζήτ Vv ‖ 11 κατάκαυσις] ἐμπρησμὸς Vv ‖ 12 ἀπερχομένων + ἢ εἰσερχομένων Vv | τινα om. Vv | ἢ μενόντων οἴκοι om. Vv ‖ 16 ἀλλάχειρ L ‖ 17 εὐσεβοῦς sup. ἀσεβοῦς L

Ἡ θ΄. ὁ θάνατος τοῦ Ἀμπουπάκη.

Ἡ ιε΄. ἡ καταβολὴ τῆς προσευχῆς αὐτῶν παρὰ τοῦ υἱοῦ τοῦ Ζουπάκη.

Ῥαντζάπ

Ἡ α΄. ἡ τοῦ ἀσεβοῦς καταπολέμησις τοῦ Μαρκούμ.

| Ἡ δ΄ καθ' ἣν ὁ Ἀλῆς καὶ ὁ Ἀβιὰ συνῆψαν ἀλλήλοις πόλεμον εἰς τὸ Σιφή. f98rL

| Ἡ κς΄. ἡ τοῦ ἀσεβοῦς δεῖξις πρὸς τοὺς ἀσεβεῖς ὅτι προφήτης ἐστίν. f48vV

Ἡ κζ΄. ἡ νὺξ καθ' ἣν ἐπορεύθη ὁ ἀσεβὴς εἰς τὸ μασγῆδιν χαράμ, καὶ ἀπὸ τούτου ὡς αὐτοὶ φλυαροῦσιν ἀνῆλθεν εἰς τὸν οὐρανόν. καὶ ἡ ἀλήθεια ὅτι εἰς τὸν οἶκον τοῦ πατρὸς αὐτοῦ τοῦ διαβόλου ἐπορεύθη.

Σαπάν

Ἡ γ΄. ἡ γέννησις Χοσάην τοῦ υἱοῦ τοῦ Ἀλῆ.

Ἡ ε΄. ἡ γέννησις τοῦ Χασὰν τοῦ υἱοῦ τοῦ Ἀλῆ.

Ἡ ιγ΄, ἡ ιδ΄, ἡ ιε΄. αἱ λευκαὶ ἡμέραι.

Τῆς ιε΄ ἡ νὺξ ἡ μιαρὰ τούτων προσευχὴ ἡ λεγομένη παράτιν, καὶ κατὰ τὴν αὐτὴν ἡ πρὸς τὸ Μακκὰ ἐπαναστροφὴ τῆς μιαρᾶς προσευχῆς αὐτῶν.

Ῥαμαδάν

Ἡ α΄. ἡ κατάβασις ὡς αὐτοὶ φλυαροῦσι τῆς τοῦ Ἀβραὰμ βίβλου οὐρανόθεν.

Ἡ ς΄. ἡ Μωυσέος βίβλου κατάβασις οὐρανόθεν.

---

4 ἀσεβοῦς L, corr. in εὐσεβοῦς L^2 ‖ 6 ἀσεβοῦς L, corr. in εὐσεβοῦς L^2 | ὅτι προφήτης ἐστὶ πρὸς τοὺς ἀσεβεῖς L ‖ 7 κζ. ἡ νὺξ] νὺξ τῶν $\overline{\text{κζ}}$ L ‖ 8 καὶ] κἂν v ‖ 14 Τῆς ιε΄ ἡ νὺξ] ἡ νὺξ τῶν $\overline{\text{ιε}}$ L 14–15 κατὰ τὴν αὐτὴν om. Vv ‖ 15 μακκὰμ L

Ἡ ι΄. ὁ θάνατος τῆς Χαδιντζᾶ, γυναικὸς τοῦ ἀσεβοῦς.

Ἡ ιβ΄. ἡ πρὸς τὸν Δαυὶδ κατάβασις τῆς βίβλου οὐρανόθεν.

Ἡ ιζ΄. ὁ πόλεμος τοῦ Μπάτρι διὰ τῶν ῑ τοῦ ἀσεβοῦς τροπωσαμένου χιλιάδας ῑ .

Ἡ ιη΄. ἡ τοῦ Εὐαγγελίου ὡς φλυαροῦσι κατάβασις.

Ἡ ιθ΄. ἀποκατάστασις τοῦ Μακκᾶ.

Ἡ κα΄. ὁ θάνατος τοῦ Ἀλῆ τοῦ υἱοῦ τοῦ Μουταλῆ, καὶ ὁ θάνατος τοῦ Ἀλιρηδᾶ, υἱοῦ αὐτοῦ.

Ἡ κβ΄. ἡ γέννησις τοῦ Ἀλῆ.

|Ἡ κδ΄. ἡ τοῦ Κουρανίου ὡς φλυαροῦσι κατάβασις πρὸς τὸν ἀσεβῆ. κρεῖττον δ' εἰπεῖν· ἡ ἀπὸ τοῦ πατρὸς αὐτοῦ τοῦ διαβόλου ἄνοδος τούτου πρὸς αὐτόν. f98vL

Ἡ κς΄. ἡ ἐκβολὴ τοῦ Περκουί.

Ἡ κζ΄. ἡ νὺξ ἐκείνη ἡ προσκύνησις τῶν δένδρων.

Σαουάλ

|Ἡ α΄. τὸ πάσχα τῆς μιαρᾶς νηστείας αὐτῶν. 281vv

Ἡ β΄. ἡ α΄ τῶν ς̄ ἡμερῶν τῆς μιαρᾶς προσευχῆς αὐτῶν.

Ἡ δ΄. ἡ διάλεξις τοῦ ἀσεβοῦς μετὰ τῶν Χριστιανῶν.

Ἡ ιζ΄. ὁ πόλεμος τοῦ Χούτ, καὶ ἡ φόνευσις τοῦ θείου τοῦ ἀσεβοῦς.

10–11 κρεῖττον ... αὐτόν] ὃ παρὰ τοῦ πατρὸς αὐτοῦ τοῦ διαβόλου ἐπεχορηγήθη αὐτῷ Vv ‖ 12 περκοί L ‖ 13 νὺξ... προσκύνησις] προσκύνησις διὰ τῆς νυκτὸς Vv ‖ 15 πάσχα + τῆς ἀνοίξεως L ‖ 16 α΄] πρώτη Vv | ἡμερῶν om. Vv

Ἡ κβ΄. ἡ τοῦ Ἰωνᾶ παρὰ τοῦ κήτους καταβρόχθισις.

Δουλκάτ

Ἡ ιδ΄. ⟨ἡ⟩ ἐκβολὴ τοῦ Ἰωνᾶ ἀπὸ τοῦ κήτους.

Ἡ ιε΄. ἡ κατάβασις τοῦ Καπᾶ οὐρανόθεν ὡς αὐτοὶ φλυαροῦσιν, καὶ ἡ συγχώρησις τοῦ Ἀδάμ.

Ἡ κθ΄. ἡ | ἀναβλάστησις τῆς κολοκύνης Ἰωνᾶ. f49rV

Δουλχέντζα

Ἡ α΄. ἡ τῆς Φατμᾶς δόσις πρὸς τὸν Ἀλῆ. πρὸ τούτου ⟨τοῦ⟩ μηνὸς $\overline{\iota}$ ἡμέραι λέγονται τοῦ γνωρίσματος. εἰς ταύτας τὰς ἡμέρας ἡ μιαρὰ προσευχὴ αὐτῶν, ἀλλὰ ἡ ἀπὸ τῶν $\overline{\iota}$ ἡ΄ ἀνάκραξις μεγίστη τῆς μιαρᾶς προσευχῆς αὐτῶν.

Ἡ θ΄. ἡ ἡμέρα ἡνίκα γυμνοῦνται καὶ προσεύχονται διονυσιακῶς.

Ἡ ι΄. ἡ πασχαλία τούτων, ἥτις λέγεται προσφαγή.

Ἡ ια΄. ἡ ἡμέρα τῆς ἁρπαγῆς.

Ἡ ιβ΄. ἡ φυγὴ πάντων ἀπὸ τῆς προσευχῆς αὐτῶν.

| Ἡ ιγ΄. ἡ καθέδρα ἡμέρας $\overline{\gamma}$. f99rL

Ἡ ιζ΄. σφαγὴ τῶν συνήθων τοῦ ἀσεβοῦς τοῦ Ἀτμάν.

Ἡ κε΄. σφαγὴ τοῦ Ἀμάρη Χατάπ.

Ἡ κζ΄. ἡ εἰς τὴν Μαδιναίαν πλείστη θερμή, καὶ ἀπὸ τούτου τῶν πολλῶν

---

3 ιδ΄.] δ΄. L ‖ 7 δολχέντζα Vv ‖ 8 δέκα L | μηνὸς] ἡμέρας codd. ‖ 10 ἡ΄ om. Vv ‖ 11 προσεύχωνται V ‖ 12 προσφαγή] προβάτων σφαγή v ‖ 13 ἡ^2 om. L ‖ 16 συνήθων] συντρόφων L ‖ 17 μάρη L, corr. L^2

θνῆσις.

Διαίρεσις ε΄ . Πασχαλίαι τῶν Περσῶν καὶ αἱ μεγάλαι ἡμέραι ἐκείνων οἳ ἀριθμοῦσι πρῶτον καὶ τὰς ἡμέρας, εἶτα τὰς νύκτας.

Φαβαρδίν

ʿΗ α΄. ἡμέρα ἡ νέα.

ʿΗ ς΄. ἡ νέα ἡμέρα τοῦ Μελιξᾶ.

ʿΗ ιζ΄. Σούρως.

ʿΗ ιθ΄. Φαρβαντινάν, ἡ πασχαλία ἐκείνων.

Ἀρδεμπεέστ

ʿΗ γ΄. Ἀρδεμπισκάν, πασχαλία ἐκείνων.

ʿΗ ς΄. ἡ α΄ Χαρτζὰν Ἀσούκτ.

ʿΗ κς΄. ἡ α΄ Κουουμπάς· ἡμέραι $\overline{\varepsilon}$.

Χορντάτ

ʿΗ ς΄. ἡ πασχαλία τοῦ Χορντατάν. ἡ α΄ Ναισὰντζ Σούκτ.

⟨ʿΗ⟩ κς΄. ἡ α΄ Κουμάτ.

Τίρ

ʿΗ ς΄. Ντζάσνι νικουφάρ.

---

2 πέμπτη v | μεγάλαι] μέγιστοι L | οἳ] οἵτινες L ‖ 3 α΄ L | εἶτα] καὶ ἔπειτα L ‖ 4 φαρβαδίν L ‖ 5 ἡ² om. L ‖ 6 ς΄. + ἡμέρα L ‖ 7 Σοῦρ ὥς codd. ‖ 9 ἀρδεμπεέτζ L ‖ 10 ἀρδεεμπισμὰν v ‖ 11 ἀσούκγ(?) L ‖ 14 ναισὰν τζσούκτ Vv, ναισαντζσούκτ L ‖ 17 ντζασνινικουφᾶ v

ʽΗ ιγ΄. πασχαλία τοῦ Τιργὰν Μικρά.

⟨ʽΗ⟩ ιη΄. πασχαλία τοῦ Τιργὰν Μεγάλη.

Μουρντάτ

ʽΗ ς΄. Συναχὲντ Σούκτ.

ʽΗ ζ΄. πασχαλία Μουρντατκάν.

Σαρεβάρ

ʽΗ δ΄. πασχαλία τῶν Σαχριρᾶν καὶ ʽΕστία κάνι.

ʽΗ ς΄. Μιτζιχὰν Σούκτ.

ʽΗ ις΄. ἡ α΄ τοῦ φθινοπώρου. ἐκείνη ἡ ἡμέρα ἀπὸ τῶν ε̅ Κουμπάτ, αἳ εἰσι ε̅.

Μμέερ

ʽΗ α΄ φθινοπώρου δευτέρα.

ʽΗ ς΄. Βαγκὰν Σούκτ.

ʽΗ ις΄. Μμεερκὰν πασχαλία.

⟨ʽΗ⟩ κα΄. Μμεερκὰν μεγάλη.

Ἀπάν

ʽΗ ς΄. Ἀπαντζοὺ Σούκτ.

ʽΗ ι΄. πάσχα τοῦ Ἀπανκάν.

---

3 μουρτάτ L ‖ 4 συναχθὲντ Vv ‖ 5 μουρτὰτ κὰν L ‖ 7 ἑστία V, corr. in ἱστία V, ἱστία L, εἱστία v ‖ 8 μυτζιχὰν Vv ‖ 9 α΄ om. Vv | κουμπὰζ L | αἳ εἰσι] καὶ ἐκεῖναι ἡμέραι L ‖ 10 μέχερ L ‖ 11 β΄ L ‖ 12 βαγκασούκτ V, βασκουσούκτ v ‖ 16 ἀπάν ντζού σούκτ L, ἀπὰν τζουσούκτ Vv

῾Η κε΄. ἡ α΄ Φαρβαντζάν.

| ⟨῾Η⟩ λα΄. ἡ α΄ — αἱ κλοπιμαῖαι ε̅ ἡμέραι αὗται. Κουμπὰτ λέγεται ἕκτον. f99vL

καὶ εἰς τοὺς ἱσταμένους μῆνας αἱ ε̅ ἡμέραι εἰς τὸ ὕστερον τοῦ Σφαντὰρ δμάδ

| εἰσιν. f49vV

5 Ἀδάρ

῾Η α΄. ἡ καβαλλίκευσις τοῦ Πανοῦ. Παχαρκὲδ λέγεται ἤγουν ὁ Θερσίτης.

῾Η θ΄. Ἀδὰρ τζάσνι.

Ντάϊ

῾Η α΄. Χορὸμ ῾Ρός.

10 ῾Η η΄. πάσχα ἐκείνων.

῾Η ια΄. ἡ πρώτη τοῦ Κουμπὰτ καὶ ἡ τῶν ιε̅ νὺξ πάσχα τοῦ Κακέτελ.

⟨῾Η⟩ κγ΄. πασχαλία.

Παχμάν

| ῾Η α΄. Ζαημανταν⟨ὰ⟩τζ Σούκτ. 282rv

15 ⟨῾Η⟩ β΄. Παχμὰν τζινὰ πασχαλία.

᾽Ισφαντὰρ δμάδ

῾Η α΄. Ἀουὰλ Χουσούμου Σούκτ.

῾Η ε΄. πασχαλία ᾽Ισφαντὰρ δμὰδ κάν.

---

1 ἡ[1] om. L ‖ 2 σουμπὰτ codd. ‖ 6 καβαλίκευσις L. | παχαρκὲγ Vv ‖ 7 τζάσνι] ντζάνϊ L. ‖ 9 ῾Ρός] πρός codd. ‖ 11 πρώτη] α΄ L | μακέλετ L, κακέλετ Vv ‖ 13 μπαχμάν Vv ‖ 14 ζαήμαν τὰκτζ codd. ‖ 15 μπαχμὰν Vv | ντζινὰ Vv

ʽΗ ια΄. ἡ α΄ Κουμπάς β΄. ἡμέραι ε̅.

ʽΗ ⟨ι⟩ς΄. Μουσχουπατὰ ἤγουν καιρὸς τοῦ ἔαρος.

⟨ʽΗ⟩ κς΄. Ζαρταρὸτ εἰς τὸ ᾽Ι⟨σ⟩παχὰν συναγωγή.

Διαίρεσις ἕκτη. Τὰ ὀνόματα τῶν ἡμερῶν καὶ τῶν μηνῶν τῶν Περσῶν.

ʽΗ α΄ τοῦ μηνός, Χουρμούζ.

ʽΗ β΄. Παχμάν.

ʽΗ γ΄. ᾽Αρδεμπεέστ.

ʽΗ δ΄. Σαρεβάρ.

ʽΗ ε΄. ᾽Ισφαντὰρ δμάδ.

ʽΗ ς΄. Χορτάτ.

ʽΗ ζ΄. Μουτάτ.

ʽΗ η΄. Τεμπαδτής.

ʽΗ θ΄. ᾽Αδάρ.

ʽΗ ι΄. ᾽Απάν.

ʽΗ ια΄. Χοάρ.

ʽΗ ιβ΄. Μάν.

ʽΗ ιγ΄. Τίρ.

---

1 ἡμέρα Vv ‖ 3 ἰπαχὰν LV, ἰπασχὰν v ‖ 4 ς΄ L ‖ 5 χουρμούζς L ‖ 10 χορουτάτ v, χορυτάτ V ‖ 11–13 ʽΗ ζ΄ . . . ᾽Αδάρ om. Vv ‖ 16 μάρ V

ʿΗ ιδ΄. Κός.

ʿΗ ιε΄. Ντάϊ Παμέερ.

ʿΗ ις΄. Μμέερ.

ʿΗ ιζ΄. Σουρώς.

ʿΗ ιη΄. ʿΡάσνι.

ʿΗ ιθ΄. Φαρβαρδίν.

ʿΗ κ΄. Μπαχράμ.

ʿΗ κα΄. ʿΡάμ.

ʿΗ κβ΄. | Μπάτ. f100rL

ʿΗ κγ΄. Ντεπτίν.

ʿΗ κδ΄. Ντίν.

ʿΗ κε΄. Ἄρτ.

ʿΗ κς΄. Ἰ⟨σ⟩τάδ.

ʿΗ κζ΄. Ἀσμάν.

ʿΗ κη΄. ʿΡαμιάδ.

ʿΗ κθ΄. Μμέερ σφάν.

ʿΗ λ΄. Ἀνιράν.

Τὰ ὀνόματα τῶν ε̅ ἡμερῶν τῶν κλοπιμαίων.

ʿΗ α΄. Ἀχνούδ.

---

1 κοί Vv ‖ 2 παμμέσαρ Vv ‖ 3 μμέρ Vv ‖ 4 σοῦρ ὡς L ‖ 6 φαρβαδίν L ‖ 7 μπαχράση Vv ‖ 17 λ΄] δ΄ codd.

ʿΗ β΄. Ἀσνούδ.

ʿΗ γ΄. Ἰσφανδμάδ.

ʿΗ δ΄. Κασάτ.

ʿΗ ε΄. Οὐασατούς.

Διαίρεσις ἑβδόμη. Εἰς τὰς πασχαλίας τῶν Χριστιανῶν, αἱ μεγάλαι ἡμέραι, τὰ ὀνόματα τῶν μηνῶν.

Τασιρὴν ἀουάλ

ʿΗ θ΄. Μουρτὰτ μὴν Ματαδίτ.

Τασιρὴν ἀλλάχειρ

ʿΗ η΄. Σαρεβὰρ μὰ Ματαδίτ.

⟨ʿΗ⟩ κβ΄. πασχαλία τοῦ Χανακᾶ.

Κανοῦν ἀουάλ

⟨ʿΗ α΄⟩ πασχαλία τοῦ Συμονί.

ʿΗ η΄. Μμέερ μὰ Ματαδίτ.

⟨. . .⟩

Οὗτος ὁ μὴν $\overline{\text{λε}}$ ἡμέραι, καὶ εἰς τὸν χρόνον τοῦ καπισᾶ ἡμέραι $\overline{\text{λς}}$.

Σουμπάτ

---

3 γασάτ L ‖ 7 τασιρὶν Vv ‖ 8 Μουρτὰτ] ν sup. ρ V, μουρντὰτ v | ματαδδίτ codd. ‖ 9 τασιρὶν Vv ‖ 14 ματαδδίτ L

Ἑ β΄. ἡ ὑπαπάντη.

Ἑ ζ΄. ἡ ἀρχὴ τῆς ἀπὸ τῆς γῆς θέρμης.

Ἑ ια΄. Ἀδὰρ μὰ Ματαδίτ. οὗτος Χαλιφᾶς ἦν καὶ ἐτέθη τὸ ἔτος τούτου εἰς τοῦτο.

Ἑ ιδ΄. ἡ ἀπὸ | τῆς γῆς δευτέρα θέρμη. f50rV

Ἑ ιε΄. ἡ ἀρχὴ τῆς βλάστης τῶν φυτῶν.

Ἑ κα΄. αἱ $\overline{\gamma}$ θέρμαι αἱ ἀπὸ τῆς γῆς.

Ἑ κς΄. αἱ πρῶται ἡμέραι τοῦ παλαιοῦ ψύχους, ἡμέραι $\overline{\zeta}$.

Ἀδάρ

⟨Ἑ η΄⟩ ἡ τῶν χελιδόνων καὶ πελαργῶν φανέρωσις.

Ἑ ιγ΄. Ντάϊ μὰ Ματαδίτ.

Νισσάν

⟨Ἑ⟩ ιβ΄. Παχμὰν μὴν Ματαδίτ.

⟨Ἑ⟩ κδ΄. Δου[λ]κράνη μὴν Τζου⟨ρ⟩τζᾶς.

⟨Ἑ⟩ κε΄. ἡ γέννησις τοῦ Ἰῶνα.

Ἰάρ

| Ἑ ιβ΄. Ἰσφαντὰρ δμὰδ Ματαδίτ. f100vL

Ἑ ιγ΄. ἡ πλήμυρα τοῦ Νείλου.

Ἑ ιη΄. ⟨ἡ⟩ παρέλευσις τοῦ θέρους καὶ τῶν ἀνεμῶν κίνησις, ἡμέραι $\overline{\mu}$.

3 μὰ Ματαδίτ] μακαταδδίτ L, μακαταδίτ Vv ‖ 7 αἱ² om. v ‖ 18 ἡ¹ om. Vv | πλήμμυρα codd. ‖ 19 θέρπους v

Ἀζυράν

ἡ Η ια΄. ἡ α΄ Φαρβαρδὶν μὰ Ματαδίτ.

⟨ἡ Η⟩ κα΄. ἡ γέννησις τοῦ Προδρόμου.

⟨ἡ Η⟩ κδ΄. πνεῦσις τοῦ λίβα.

⟨ἡ Η⟩ κζ΄. τελείωσις τῶν $\overline{\mu}$ ἡμερῶν.

Ταμούζ

ἡ Η γ΄. Δουκράνη μὰρ Τουμά.

ἡ Η ια΄. Ἀρδεμπεὲστ μὰ[ι] Ματαδίτ.

ἡ Η ιθ΄. ἡ α΄ ἡμέρα τῶν κυανοκαυμάτων, ἡμέραι $\overline{\zeta}$.

Ἄπ

ἡ Η α΄. ἡ νηστεία τῆς Θεοτόκου.

ἡ Η ς΄. ἡ μεταμόρφωσις.

ἡ Η ι΄. Χορτὰτ μὰ Ματαδίτ.

ἡ Η ιε΄. τὸ πάσχα τῆς Θεοτόκου.

ἡ Η κδ΄. ἡ φόνευσις τοῦ Προδρόμου.

Αἰλούλ

ἡ Η β΄ καθ' ἣν ἐπιτέλλει ὁ Αἰρὰκ ἀστήρ.

ἡ Η θ΄. Τὶρ μὰ Ματαδίτ.

ἡ Η ιγ΄. ἡ πασχαλία τῆς ὑψώσεως τοῦ σταυροῦ.

---

2 πρώτη Vv | φαρβαδὶν L ‖ 7 γ] ιγ΄ codd. ‖ 13 χορουτὰτ Vv ‖ 15 ἡ[1] om. Vv ‖ 19 τοῦ + τιμίου καὶ ζωοποίου Vv

| Μοῖρα δευτέρα. Περὶ τῆς καταλήψεως τῶν ψηφῶν, τῆς περισσείας, 282vv
τῆς τραχηλαίας, τοῦ τόξου, τῆς σαγίτας καὶ τοῦ σκιάσματος κατὰ πολὺ λυσιτελούντων τούτων εἰς τὴν τῆς Συντάξεως μετάχειρσιν. αὕτη ἡ μοῖρα εἰς τρία διαιρεῖται τμήματα.

Τμῆμα α΄ . Περὶ τῆς ὀρθώσεως τοῦ μέσου ψήφου τῶν $\overline{\beta}$ κανονίων.

Δεῖ εἰδέναι ὅτι οἷον καὶ ἔστι κανόνιον, ἐκεῖνος ὁ τεθεὶς ψῆφος κατ' ἀρχὰς τῶν κανονίων οἷον θύρα τίς ἐστιν εἰς τὸν ψῆφον ἐκεῖνον τοῦ κανονίου. ἐκεῖνος οὖν ὁ ψῆφος οἷος καὶ ἔστι μέσον τῶν | κανονίων | καὶ ὁ κατὰ τὴν ἀρχὴν f50vV, f101rL
τοῦ κανονίου, ἀεὶ ὀρθός ἐστιν εἰς τὴν περισσείαν, ἐκείνη δὲ ἡ περισσεία ἡ μέσον τῶν δύο κανονίων πᾶσα οὐδὲ συμβαίνει ὀρθή. ἐὰν οὖν ἡ μέσον τοῦ κανονίου αὕτη περισσεία ἐγράφη εἰς τὸ κανόνιον, καὶ τὰ ζῴδια ἀπὸ τῶν ἄνω κατέρχονται, ἡ περισσεία κατ' ἐναντίον ἐκείνου τοῦ ψήφου κρατεῖται. εἰ δὲ τὰ ζῴδια ἀπὸ τῶν κάτω ἀνέρχονται, ἡ περισσεία ἀπὸ τοῦ β΄ ψήφου κρατεῖται. εἰ δ' οὐκ ἐγράφη ἡ περισσεία ἐν τῷ κανονίῳ, γίνεται ζήτησις εἰς τὸν ψῆφον ἐκεῖνον δι' οὗ ἐγένετο εἰσέλευσις. ὁ ψῆφος γοῦν ὁ μετ' ἐκεῖνον τηρεῖται καὶ ὁ ἐλάττων ἀφαιρεῖται τοῦ πλείονος. εἴπερ ὁ β΄ πλείων, ἐκεῖνος ὁ ψῆφος λέγεται

1–3 τῆς περισσείας...μετάχειρσιν] τῶν κατὰ πόλυ λυσιτελούντων εἰς τὴν μετάχειρσιν τῆς συντάξεως ἢ τῆς περισσείας τῆς τραχηλαίας τοῦ τόξου τῆς σαγίτας καὶ τοῦ σκιάσματος L ‖ 5 πρῶτον v | περὶ τῆς ὀρθώσεως] ἡ ὄρθωσις L | ψήφου post κανονίων Vv ‖ 8 οἷος] ὁποῖος Vv | τῶν + μέσον τῶν V | ὁ²] ὅτι Vv ‖ 10 $\overline{\beta}$ L | οὐδὲν codd. ‖ 11 τὰ κανόνια v ‖ 13 δευτέρου Vv ‖ 16 δεύτερος Vv

περισσός. εἰ δὲ ὁ α΄ πλείων, ὁ ψῆφος ἔνευσε πρὸς ἀφαίρεσιν. οὗτος οὖν ὁ ψῆφος τῶν μέσων κανονίων ἐστίν, ἐπεὶ ὁ τῆς ἀρχῆς ἀεὶ πρὸς πλέον χωρεῖ.

Ἐπεὶ χρεία γενέσθαι τὴν ἐργασίαν ταύτην, εἴπερ λεπτὰ οὐκ εἴσιν εἰς τὸν ψῆφον τοῦτον τὸν παρ' ἡμῶν κρατηθέντα, χρεία οὐκ ἔστι τῆς τοιαύτης ἐργασίας. κατ' ἐναντίον δὲ τοῦ ψήφου ἐκείνου, εἴ τι εὑρεθῇ, κρατεῖται. εἰ δέ εἰσι λεπτὰ εἰς τὸν ψῆφον ἡμῶν, κατ' ἐναντίον τῶν μοιρῶν τοῦ κρατουμένου παρ' ἡμῶν ψήφου ἀπὸ τῆς ἀρχῆς τοῦ κανονίου γίνεται εἰσέλευσις, καὶ ἀπὸ τῆς μέσης τοῦ κανονίου κρατεῖται ὁ εὑρεθεὶς | ψῆφος καὶ τηρεῖται. ἔπειτα f101vL ἡ περισσεία τούτου φανεροῦται, καὶ ἐκείνη ἡ περισσεία εἰς τὰ λεπτὰ τοῦ κρατουμένου παρ' ἡμῶν ψήφου τηρεῖται. εἴ τι εὑρεθῇ, μερίζεται εἰς τὴν περισσείαν τῆς ἀρχῆς τοῦ κανονίου. εἴ τι ἐξέλθῃ, ἐὰν ὁ ψῆφος ὁ ἀπὸ τῆς μέσης τοῦ κανονίου τοῦ κρατηθέντος καὶ τηρηθέντος | χωρῇ πρὸς τὸ πλέον, f51rV ἐκεῖνο τὸ ἐξελθὸν ἐνοῦται τούτῳ. εἰ δὲ πρὸς τὸ ἔλαττον, ἀφαιρεῖται ἵνα γένηται ὁ ψῆφος ἐκεῖνος τέλειος μέσον τοῦ ψήφου τῶν $\overline{\beta}$ κανονίων.

Διαίρεσις

Εἴπερ ἐκεῖνος ὁ κρατηθεὶς παρ' ἡμῶν ψῆφός ἐστιν ἀπὸ τοῦ ἀπὸ τοῦ μέσου κανονίου ψήφου, καὶ δεήσει γενέσθαι ἀπὸ τούτου δῆλον τὸν ἀπὸ τῆς ἀρχῆς τοῦ κανονίου ψῆφον, οὗτος ὁ παρ' ἡμῶν κρατούμενος ψῆφος ζητεῖται μέσον

1 πρῶτος Vv ‖ 4 τοῦτον om. Vv ‖ 9 ἐκείνη om. Vv ‖ 14 τοῦ] τῶν v ‖ 17 ἀπὸ τούτου om. Vv

τοῦ κανονίου. εἴπερ τοίνυν εὑρεθῇ ὅμοιος τούτῳ ψῆφος ἐκεῖ, κατ' ἐναντίον ἐκείνου κρατεῖται ὁ ψῆφος τῆς ἀρχῆς τοῦ κανονίου καὶ χρεία οὐκ ἔστιν | ἄλλου τινὸς εἰς τοῦτον τὸν ψῆφον. εἰ δ'οὐχ εὑρεθῇ ὅμοιος ἐκείνῳ, μέσον f283rv τοῦ κανονίου ζητεῖται ὁ ψῆφος, ὃς ἀπὸ τοῦ κρατουμένου παρ' ἡμῶν ψήφου ἐστὶν ἐλάττων καὶ ἐγγύτερον. εἶτα κατ' ἐναντίον ἐκείνου κρατεῖται ὁ ψῆφος ὁ κατὰ τὴν ἀρχὴν τοῦ κανονίου καὶ τηρεῖται. ἔπειτα ὁ ψῆφος ὁ εὑρεθεὶς μέσον τοῦ κανονίου ἀφ' οὗ κατ' ἐναντίον ἐγένετο εἰσέλευσις, ἀπὸ τοῦ κρατουμένου | παρ' ἡμῶν ψήφου ἀφαιρεῖται. εἴ τι οὖν καταλειφθῇ, ἐκεῖνο τηρεῖται εἰς τὴν f102rL περισσείαν τοῦ ψήφου τῆς ἀρχῆς τοῦ κανονίου καὶ τὸ εὑρεθὲν μερίζεται εἰς τὴν περισσείαν τῆς μέσης τοῦ κανονίου. εἴ τι οὖν εὑρεθῇ ἀπὸ τῶν πρώτων καὶ δευτέρων λεπτῶν, ἑνοῦται μετὰ τοῦ ψήφου τοῦ κρατηθέντος ἀπὸ τῆς ἀρχῆς τοῦ κανονίου ὡς ἂν γένηται ὁ ψῆφος ἐκεῖνος ὁ κρατηθεὶς ἀπὸ τῆς ἀρχῆς τοῦ κανονίου τέλειος.

Τμῆμα δεύτερον. Περὶ τῆς καταλήψεως τῶν τόξων τῶν τραχηλαίων καὶ τῶν σαγιτῶν.

Οἱ ἀρχαῖοι ἐκεῖνοι, ὁποῖος ἄρα καὶ ἔστι κύκλος εἰς τὴν σφαῖραν, εἰς τὰ $\overline{\tau\xi}$ ἐμέρισαν, εἰς τὸ γενέσθαι ἕκαστον μετὰ τοῦ ἄλλου ἴσον, καὶ τὰ τεμμάχια ἐκεῖνα ἐκάλεσαν μοίρας. καὶ τὴν διάμετρον δὲ τοῦ κύκλου εἰς $\overline{\rho\kappa}$ μοίρας

10 μέσων L ‖ 11 β′ L ‖ 14 β′ L ‖ 16 κύκλος post ἄρα L

ἐμέρισαν. ἑκάστη δὲ | μοῖρα παρ' αὐτῶν εἰς $\overline{\xi}$ διῃρέθη τμήματα, καὶ ἕκαστον f51vV
ἐκείνων λεπτὸν ἐκάλεσαν. καὶ αὖθις ἕκαστον ἐκείνων εἰς $\overline{\xi}$ διῃρέθη τμήματα, ὧν ἕκαστον δεύτερον λεπτὸν ἐκάλεσαν. καὶ μετὰ τῆς τάξεως ταύτης ἐγένετο ἡ διαίρεσις τῶν καθεξῆς λεπτῶν μέχρι τῶν ι΄ λεπτῶν.

Δεῖ εἰδέναι ὅτι ἡ τραχηλαῖα θεμέλιόν ἐστιν εἰς τὴν κατάληψιν τῆς τάξεως τῶν τόξων. καὶ εἰς ἅπαντας δὲ τοὺς ψήφους οἱ ἀστρονόμοι ταύτῃ χρῶνται. καὶ ἡ μεγάλη δὲ τραχηλαῖα ἥμισύ ἐστι τῆς διαμέτρου, ἧς ὁ ψῆφος μοῖραι $\overline{\xi}$. οἷον οὖν | τόξον καὶ ἔστιν, δεῖ εἰδέναι τὴν τραχηλαῖαν ἐκείνου. εἰ τὸ f102vL
τόξον ἔλαττόν ἐστι τῶν $\overline{\rho}$, κατ' ἐναντίον ἐκείνου κρατεῖται ἡ τραχηλαῖα. εἰ δὲ πλέον τῶν $\overline{\rho}$ καὶ ἔλαττον τῶν $\overline{\rho\pi}$, ἡ περισσεία τῆς μέσης τοῦ τόξου ἐκείνου $\overline{\rho\pi}$ κρατεῖται, ἤγουν τὸ ἔλαττον ἀφαιρεῖται τοῦ πλείονος. εἴ τι καταλειφθῇ ἐξ ἐκείνου, κατ' ἐναντίον κρατεῖται ἡ τραχηλαῖα. καὶ εἰ τὸ τόξον ἐκεῖνο πλέον ἐστὶ τῶν $\overline{\rho\pi}$ μοιρῶν, ἐκεῖνο ἀφαιρεῖται ἀπὸ τῶν $\overline{\tau\xi}$ μοιρῶν. εἴ τι οὖν καταλειφθῇ, κατ' ἐναντίον ἐκείνου κρατεῖται ἡ τραχηλαῖα.

Εἰ γένηται χρεία κατ' ἐναντίον τοῦ τόξου κρατηθῆναι τὴν σαγίταν, ἐὰν τὸ τόξον ἔλαττόν ἐστι τῶν $\overline{\rho\pi}$ μοιρῶν, κατ' ἐναντίον ἐκείνου ἐκβάλλεται ἡ σαγίτα. εἰ δ' ἐστὶ πλέον τῶν $\overline{\rho\pi}$, ἐκεῖνο ἀφαιρεῖται ἀπὸ τῶν $\overline{\tau\xi}$. εἴ τι οὖν καταλειφθῇ, κατ' ἐναντίον ἐκείνου κρατεῖται ἡ σαγίτα. καὶ ἡ σαγίτα δὲ ἡ μεγάλη διάμετρός ἐστι τοῦ κύκλου, καὶ ἐκεῖνο $\overline{\rho\kappa}$ μοῖραί εἰσιν. καὶ ἡ σαγίτα

3 δεύτερον... ἐκάλεσαν] β΄ ὠνόμασεν λεπτὸν L ‖ 4 δεκάτων V ‖ 8 ἐκείνου] ἐκείνην Vv ‖ 15 ἐὰν + οὖν L ‖ 19 μοῖραι post εἰσι L

αὕτη ἐκείνου τοῦ τόξου τοῦ $\overline{\rho\pi}$ ἐστίν.

| Διαίρεσις. Περὶ τοῦ εἰδέναι τὴν τραχηλαῖαν ἀπὸ τοῦ τόξου, καὶ τὸ τόξον 283vv
ἀπὸ τῆς τραχηλαίας.

Βουλομένων ἡμῶν ποιῆσαι ἐργασίαν, γίνεται εἰσέλευσις κατ' ἐναντίον
5 τοῦ τόξου εἰς τὸ ἄκρον τῆς ἀρχῆς τῆς τραχηλαίας. καὶ κατ' ἐναντίον
ἐκείνου ἀπὸ μέσου τοῦ κανονίου ἡ τραχηλαῖα | ἐκβάλλεται. ἐπεὶ οὖν μετὰ f52rV
τοῦ τόξου οὗ εἴχομεν ἦσαν λεπτά, ἐκείνη ἡ τραχηλαῖα τελεία γίνεται | μετὰ f103rL
τῆς ὀρθώσεως τοῦ μέσου τῶν $\overline{\beta}$ κανονίων. οὕτως ὡς ἐρρέθη εἰς τὴν ἀρχὴν
τοῦ α΄ τμήματος. εἴ τι εὑρεθῇ, τραχηλαῖά ἐστιν ἐκείνου τοῦ τόξου. καὶ ἂν
10 γένηται χρεία γενέσθαι τὴν τραχηλαῖαν ἐκείνου τοῦ τόξου τετελειωμένην,
τὸ τόξον ἀφαιρεῖται ἀπὸ τῶν $\overline{\rho}$. [ἐκεῖνο] εἴ τι καταλειφθῇ, τετελειωμένον
ἐστὶ τὸ τόξον καὶ ἡ τραχηλαῖα ἐκείνου κρατεῖται. εἴ τι εὑρεθῇ, τραχηλαῖά
ἐστι τετελειωμένη ἐκείνου τοῦ τόξου.

Καὶ ἂν κρατῆται παρ' ἡμῶν τραχηλαῖα, ἐκείνη εἰς τὸ μέσον τοῦ κανονίου
15 τῆς τραχηλαίας ζητεῖται, καὶ κατ' ἐναντίον ἐκείνου ἀπὸ τῆς ἀρχῆς τοῦ
κανονίου τὸ τόξον κρατεῖται καθ' ὡς εἴρειται εἰς τὴν διαίρεσιν τοῦ πρώτου
κεφαλαίου.

---

13 τετελειωμένη... τόξου] τοῦ τετελειωμένου ἐκείνου τόξου Vv ‖ 14 κρατεῖται L ‖ 15 ἀρχῆς] ἄκρας L ‖ 16 α΄ L ‖ 17 κεφάλου L

Διαίρεσις. Περὶ τῆς καταλήψεως τῆς σαγίτας ἀπὸ τοῦ τόξου καὶ τοῦ τόξου ἀπὸ τῆς σαγίτας ἀπὸ τοῦ κανονίου τῆς τραχηλαίας.

Ὅταν κρατῆται παρ' ἡμῶν τόξον, καὶ τὴν σαγίταν ἐκείνου βουλόμεθα εἰδέναι, γίνεται ζήτησις εἰς ἐκεῖνο τὸ τόξον. εἴπερ ἐστὶν ἐκεῖνο ἔλαττον τῶν $\overline{\rho}$, ἡ τετελειωμένη τοῦ τόξου ἐκείνου τραχηλαῖα ἀφαιρεῖται ἀπὸ τῶν $\overline{\xi}$. εἴ τι οὖν καταλειφθῇ, σαγίτα ἐστὶ τοῦ τόξου ἐκείνου. καὶ ἐὰν τὸ τόξον ἐκεῖνο $\overline{\rho}$ μοῖραι, ἡ σαγίτα ἐκείνη μοῖραι $\overline{\xi}$. εἰ δ' ἐκεῖνο τὸ τόξον πλέον τῶν $\overline{\rho}$, ἀφαιροῦνται ἐξ ἐκείνου $\overline{\rho}$. εἴ τι οὖν καταλειφθῇ, ἡ τραχηλαῖα ἐκείνου κρατεῖται καὶ ἑνοῦται | τοῖς $\overline{\xi}$. εἴ τι εὑρεθῇ, ἡ σαγίτα ἐστὶ τοῦ τόξου ἐκείνου. ὅταν ᾖ [ἐν] ἡμῖν σαγίτα, f103vL καὶ τὸ τόξον ἐκείνης βουλόμεθα ἐκβαλεῖν ἀπὸ τοῦ κανονίου τῆς τραχηλαίας, γίνεται τήρησις εἰς ἐκείνην τὴν σαγίταν. ἐὰν ᾖ ἐκείνη ἐλάττων τῶν $\overline{\xi}$, αὕτη ἀφαιρεῖται ἀπὸ τῶν $\overline{\xi}$. εἴ τι οὖν καταλειφθῇ, ἐκεῖνο τραχηλαῖά ἐστιν. τὸ τόξον ἐκείνης κρατεῖται, | καὶ εἴ τι εὑρεθῇ, ἀφαιρεῖται ἀπὸ τῶν $\overline{\rho}$. ἔπειτα f52vV εἴ τι καταλειφθῇ, τόξον ἐστὶ τῆς σαγίτας ἐκείνης. εἰ δὲ ἡ σαγίτα $\overline{\xi}$ μοῖραι, ὀρθή ἐστι καὶ τὸ τόξον ἐκείνης $\overline{\rho}$ μοῖραί εἰσιν. εἰ δὲ ἡ σαγίτα πλείων τῶν $\overline{\xi}$, ἀφαιροῦνται ἐξ ἐκείνης $\overline{\xi}$. εἴ τι καταλειφθῇ, τραχηλαῖά ἐστιν. τὸ τόξον οὖν ἐκείνης κρατεῖται. εἴ τι εὑρεθῇ, ἑνοῦνται τοῖς $\overline{\rho}$, καὶ εὑρίσκεται τὸ τόξον τῆς σαγίτας ἐκείνης.

4 γίνεται post ζήτησις L ‖ 5 οὖν om. Vv

Τμῆμα γ΄. Περὶ τοῦ σκιάσματος.

Εἰς τὸ πλάγιον τοῦ κανονίου τῆς τραχηλαίας ἐτέθη διὰ τοὺς δακτύλους καὶ τὰ ἰχνόποδα. κατ᾽ ἐναντίον οὖν τῆς ἀναβάσεως γίνεται εἰσέλευσις καὶ κρατεῖται τὸ σκίασμα.

Μοῖρα τρίτη. Περὶ τῆς α΄ καὶ β΄ μετακλίσεως τῆς βορείας καὶ νοτίας καὶ τοῦ μήκους τῶν πόλεων καὶ τῆς ἀναβάσεως τῶν ἀστέρων εἰς τὸν κύκλον τοῦ μέσου τῆς ἡμέρας |καὶ τοῦ τόπου τῆς τύχης μετὰ τῆς εὐθείας γραμμῆς. αὕτη f284r δὲ ἡ μοῖρα εἰς $\overline{\delta}$ διαιρεῖται κεφάλαια.

Κεφάλαιον α΄. Περὶ τῆς α΄ καὶ β΄ μετακλίσεως.

Ἡ μεγάλη τοίνυν μετάκλισις μέσον ἐστὶ τοῦ ζῳδιακοῦ κύκλου καὶ τῆς | τελείας τῆς ἡμέρας ζώνης, ἤγουν τοῦ κατὰ τὸ νυχθήμερον κινουμένου f104rL κύκλου. $\overline{\kappa\gamma}$ δὲ μοῖραί εἰσι καὶ $\overline{\lambda\epsilon}$ λεπτά. ἡ μετάκλισις δὲ ἡ β΄ ἡ καὶ ἐλάττων τῆς α΄ εἰς δύο διαιρεῖται. ἡ μία λέγεται α΄, ἧς χρεία εἰς τὴν κατάληψιν τῆς ἀναβάσεως τοῦ ἡλίου εἰς τὸν κύκλον τοῦ μέσου τῆς ἡμέρας καὶ τῆς ὀρθώσεως τῆς ἡμέρας, ἡ δευτέρα δὲ μετάκλισις εἰς τὴν κατάληψιν τοῦ μήκους τοῦ ἀστέρος, ἤγουν τῆς [ἀπ' ἀλλήλων] τῶν ἀστέρων διαστάσεως ἀπὸ τῆς τελείας ζώνης τῆς ἡμέρας λυσιτελεῖ. χάριν τοίνυν τῶν δύο τούτων μετακλίσεων ἐτέθη κανόνιον, ὅπως κατ' ἐναντίον τῶν μοιρῶν τῶν ζῳδίων γίνεται εἰσέλευσις καὶ κρατεῖται ὁ ψῆφος τῆς μετακλίσεως. |εἰ οὖν χρεία εἰδέναι τὴν μετάκλισιν f53rV ταύτην, εἰ βορεία ἢ νοτία ἢ καὶ εἰς τὴν ἀνάβασίν ἐστιν ἢ τὴν κατάβασιν, γίνεται τήρησις εἰς τὰ ζῴδια ἐκεῖνα. εἴπερ ἔλαττόν εἰσι ταῦτα τῶν $\overline{\varsigma}$, βορεία

4 δὲ om. L ‖ 5 α΄ 1 om. L | α΄ 2] πρώτης Lv ‖ 6 τοίνυν om. Vv ‖ 9 α΄ 1] πρώτης Vv | $\overline{\beta}$ L | α΄ 2] πρώτη Vv ‖ 13 $\overline{\beta}$ L ‖ 16 εἰ] ἢ Vv ‖ 17 γίνεται τήρησις εἰς] τηροῦνται Vv

ἐστίν. εἰ δὲ πλέον τῶν $\overline{\varsigma}$, νοτία. καὶ εἰ τὰ ζῴδια μέσον τῶν $\overline{\theta}$, $\overline{\xi}$ καὶ $\overline{\gamma}$ εἰσίν, ἀνάβασίς ἐστιν. εἰ δὲ μέσον τῶν $\overline{\gamma}$, $\overline{\varsigma}$ καὶ $\overline{\theta}$ εἰσίν, κατάβασίς ἐστιν.

Κεφάλαιον β΄. Περὶ τῆς καταλήψεως τοῦ πλάτους ἑκάστης πόλεως.

Ἡ ἀνάβασις τοῦ ἡλίου εἰς τὸν κύκλον τοῦ μέσου τῆς ἡμέρας καταλαμβάνεται, καὶ κατ᾽ ἐναντίον τῶν μοιρῶν τοῦ ἡλίου κρατεῖται ἡ α΄ μετάκλισις. ἐκείνη οὖν ἡ μετάκλισις, εἰ πρὸς τὸ νότιον μέρος, ἕνουται τῇ ἀναβάσει τοῦ ἡλίου. εἰ δὲ βορεία, ἀφαιρεῖται ἐξ ἐκείνης. εἴ τι οὖν εὑρεθῇ, ἀφαιρεῖται | ἀπὸ τῶν $\overline{\varrho}$, καὶ τὸ καταλειφθὲν πλάτος ἐστὶ τῆς πόλεως. f104vL

Εἰ δὲ εἰς τὸν τόπον τῆς μετακλίσεως τὸ μῆκος τοῦ ἀστέρος καταλειφθῇ ἀπὸ τοῦ τελείου κύκλου τῆς ἡμέρας, ἡ μέθοδος ὁμοίως ὡς ἐκεῖ κἀνταῦθα γίνεται.

Διαίρεσις. Περὶ τῆς καταλήψεως τοῦ πλάτους τῆς πόλεως ἀπὸ τοῦ ἀεὶ φαίνοντος ἀστέρος καὶ μήποτε δυομένου.

Ἡ ἀνάβασις ἐκείνου τοῦ ἀστέρος ζητεῖται καὶ καταλαμβάνεται εἰς τοὺς $\overline{\beta}$ καιρούς, ὅταν διίσταται τῆς γῆς μακράν, καὶ ὅταν ὑπάρχῃ ἐγγύς. εἶτα

2 εἰσὶν om. Vv ‖ 3 δεύτερον LV ‖ 5 πρώτη Vv ‖ 9 τόπον] κύκλον codd. | μετακλίσεως + τὸ μῆκος τὴν ἐποχὴν δηλοῖ τοῦ ἀπλανοῦς ἀστέρος in marg. V^2, μετακλίσεως + μῆκος τὴν ἐποχὴν δηλοῖ τοῦ ἀπλανοῦς ἀστέρος in marg. L^2

αἱ $\overline{\beta}$ αὗται ἀναβάσεις ἑνοῦνται, καὶ τὸ εὑρεθὲν μερίζεται εἰς $\overline{\beta}$. εἴ τι οὖν καταλειφθῇ, ἐκεῖνο πλάτος ἐστὶ τῆς πόλεως ἐκείνης. ἢ ὅταν ἔλθῃ ὁ ἥλιος εἰς τὴν ἀρχὴν τοῦ Καρκίνου, κρατεῖται ἡ τελεία ἀνάβασις διὰ τοῦ ἀστρολάβου κατὰ τὸ μέσον τῆς ἡμέρας τοῦ ἡλίου. ἀπὸ τούτου $\overline{\kappa\delta}$ ἀφαιροῦνται. εἴ τι καταλειφθῇ, πλάτος ἐστὶ τῆς πόλεως ἐκείνης, ἔνθα ἐκρατήθη ἡ ἀνάβασις. εἰ δὲ εἰς τὸν Αἰγοκέρωτα κρατηθῇ, ἡ ἀνάβασις $\overline{\kappa\delta}$ ἑνοῦνται καὶ οὕτως κἀνταῦθα ἀναφαίνεται τὸ πλάτος τῆς ζητουμένης πόλεως. χρὴ δὲ εἰδέναι ὅτι μετὰ τὴν | ἀφαίρεσιν ἢ ἕνωσιν τῶν $\overline{\kappa\delta}$ τὸ καταλειφθὲν ἀεὶ ἀφαιρεῖται ἀπὸ τῶν $\overline{\rho}$ καὶ f53vV
ἐκεῖνό | ἐστι τέλειον πλάτος. 284vv

Κεφάλαιον γ΄. Περὶ τῆς καταλήψεως τῆς ἀναβάσεως τοῦ ἡλίου καὶ τῶν ἑτέρων ἀστέρων εἰς τὸν κύκλον τοῦ μέσου τῆς ἡμέρας.

Ἀφ' οὗ καταλειφθῇ τὸ πλάτος τῆς πόλεως, ἀφαιρεῖται | τοῦτο ἀπὸ τῶν $\overline{\rho}$ f105rL
καὶ εὑρίσκεται ἅπαν τὸ πλάτος τῆς πόλεως. ἔπειτα ἡ μετάκλισις ἡ α΄ ἀπὸ τῶν μοιρῶν τοῦ ἡλίου κρατεῖται ἢ τὸ μῆκος τοῦ ἀστέρος ἀπὸ τοῦ τελείου κύκλου τῆς ἡμέρας καὶ τηρεῖται. εἰ ἔστιν ἡ μετάκλισις ἢ τὸ μῆκος τοῦ ἀστέρος βόρειον, ἐκείνη ἡ μετάκλισις καὶ ἐκεῖνο τὸ μῆκος ἑνοῦται τῷ τετελειωμένῳ πλάτει τῆς πόλεως. εἰ δὲ νοτία, ἀφαιροῦνται ἐξ ἐκείνου τοῦ πλατοῦς . εἴ

2–3 εἰς τὴν ἀρχὴν τοῦ καρκίνου] εἰς τὸν καρκίνον κατὰ τὴν ἀρχὴν Vv ‖ 6 ἑνοῦνται] ἀφαιροῦνται L ‖ 13 πρώτη Vv ‖ 16 βορεία v | τελείῳ Vv ‖ 17 ἐξ ἐκείνου τοῦ πλατοῦς om. Vv

τι οὖν εὑρεθῇ, εἴπερ ἐστὶν ἔλαττον τῶν $\overline{\rho}$, ἐκεῖνο ἀνάβασίς ἐστι τοῦ ἡλίου ἢ τοῦ ἀστέρος εἰς τὸ νότιον μέρος εἰς τὸν κύκλον τοῦ μέσου τῆς ἡμέρας. εἰ δὲ πλέον ἐστὶ τῶν $\overline{\rho}$, ἀφαιρεῖται ἐκεῖνο ἀπὸ τῶν $\overline{\rho\pi}$. εἴ τι οὖν καταλειφθῇ, ἀνάβασίς ἐστι τοῦ ἡλίου ἢ τοῦ ἀστέρος εἰς τὸ βόρειον μέρος.

Κεφάλαιον δ΄. Περὶ τῆς καταλήψεως τοῦ τόπου τῆς τύχης τῶν ζῳδίων μετὰ τῆς εὐθείας γραμμῆς.

Ὁ ψῆφος οὗτος· ὅταν γένηται χρεία περὶ τούτου, ἡ τραχηλαῖα τῆς μοίρας ἐκείνης τηρεῖται εἰς τὴν τραχηλαῖαν τῆς τετελειωμένης μετακλίσεως. εἴ τι οὖν εὑρεθῇ, μερίζεται εἰς τὴν τραχηλαῖαν τὴν τετελειωμένην τῆς μετακλίσεως τῆς μοίρας ἐκείνης. τὸ εὑρεθὲν τραχηλαῖά ἐστι τοῦ τόπου τῆς τύχης μετὰ τῆς εὐθείας γραμμῆς. τὸ τόξον τῆς τραχηλαίας ἐκείνης κρατεῖται, καὶ ἐκεῖνο τόπος τῆς τύχης ἐστὶν ἐκείνης τῆς μοίρας. ἐτέθη κανόνιον διὰ τὸν τόπον τῆς τύχης τοῦτον. καὶ ἡ τάξις τοῦ κανονίου | ἐκείνου ἀπὸ τῆς ἀρχῆς τοῦ ζῳδίου f105vL
τοῦ Αἰγοκέρωτος. ἡνίκα οὖν γένηται χρεία, ἀπὸ τῶν μοιρῶν τῶν ζῳδίων κρατεῖται ὁ τόπος τῆς τύχης. οὕτως τὸ ζῴδιον ζητεῖται ἄνω τοῦ κανονίου καὶ αἱ μοῖραι ἐκ πλαγίου. καὶ ἀπὸ τῆς μέσης τοῦ κανονίου κατ' ἐναντίον τῶν $\overline{\beta}$ ὁ τόπος τῆς | τύχης κρατεῖται. εἰ δὲ κρατεῖται παρ' ἡμῶν ὁ τόπος τῆς f54rV

2 εἰς τὸ νότιον μέρος om. Vv ‖ 3 ἐστὶ om. Vv | οὖν om. Vv ‖ 5 περὶ τῆς καταλήψεως] εἰς τὴν κατάληψιν L ‖ 13 τάξις] καταρχὴ Vv | τοῦ ζῳδίου om.V ‖ 17 δύο v

τύχης καὶ βουλόμεθα ἀπὸ τούτων εἰδέναι τὰς μοίρας καὶ τὰ ζῴδια, ἐκεῖνος ὁ τόπος τῆς τύχης ζητεῖται μέσον τοῦ κανονίου. ἔνθα οὖν εὑρεθῇ, κατ' ἐναντίον ἐκείνου κρατεῖται τὸ ζῴδιον καὶ αἱ μοῖραι ἀπὸ τῆς ἀρχῆς τοῦ κανονίου. καὶ ἡ ὄρθωσις μέσον τῶν $\overline{\beta}$ κανονίων οὕτω κρατεῖται καὶ μεθοδεύεται ὡς ἐρρέθη.

5 Εἰ δὲ τὸν τόπον τοῦτον τῆς τύχης τὸν ἀπὸ τοῦ Αἰγοκέρωτος βουληθῶμεν γενέσθαι ἀπὸ τῆς ἀρχῆς τοῦ Κριοῦ, $\overline{\rho}$ μοῖραι ἀφαιροῦνται ἀπὸ τῶν ἐν τῷ κανονίῳ μοιρῶν τοῦ τόπου τῆς τύχης ἢ $\overline{\sigma o}$ ἑνοῦται τούτῳ ἐπεὶ καὶ τῶν $\overline{\beta}$ ὁ ψῆφος εἷς. εἴ τι οὖν ἔπειτα εὑρεθῇ, ἀπὸ τῆς ἀρχῆς ἐστιν ἐκεῖνο τοῦ Κριοῦ.

---

7 δύο v

Μοῖρα δ΄. Περὶ τῆς ὀρθώσεως τῆς ἡμέρας μετὰ τῆς σαγίτας καὶ τοῦ τόξου τῆς ἡμέρας καὶ νυκτὸς καὶ τῶν ὀρθῶν ὡρῶν μετὰ τῶν μοιρῶν τῶν μὴ ὀρθῶν ὡρῶν, καὶ τῶν τόπων τῶν ζῳδίων εἰς πάντα τὰ κλίματα μετὰ τοῦ πλάτους τῆς ἀνατολῆς. ἡ μοῖρα αὕτη | εἰς $\overline{\delta}$ διαιρεῖται κεφάλαια. f285rv

---

|Κεφάλαιον α΄. Περὶ τοῦ πλάτους τῆς ἀνατολῆς κἄν τε νότιόν ἐστι τοῦτο κἄν τε βόρειον f106rL

Ἐὰν ἡ μετάκλισις τοῦ ἡλίου ἢ ἡ διάστασις τῶν ἀστέρων ἀπὸ τοῦ τελείου κύκλου τῆς ἡμέρας πρὸς τὸ βόρειον μέρος πλέον ἐστὶ τοῦ τελείου πλάτους τῆς πόλεως, ἐκεῖνος οὖν ὁ ἀστὴρ ἀεὶ φανής ἐστι καὶ οὐ δύει ὑπὸ τὴν γῆν. εἰ δὲ ἡ μετάκλισις ἐκείνου ἢ τὸ μῆκος πρὸς τὸ νότιον μέρος, ἐκεῖνος ὁ ἀστὴρ ἀεὶ ὑπὸ γῆν ἐστιν. εἰς ταῦτα οὖν καὶ τὰ $\overline{\beta}$ πλάτος ἀνατολῆς οὐκ ἔστιν. εἰ δὲ ἡ μετάκλισις ἐκείνου ἢ τὸ μῆκος κατ' ἐναντίον εἰσὶν ἑκάτερον τοῦ τετελειωμένου πλάτους τῆς πόλεως, τὸ πλάτος τῆς ἀνατολῆς $\overline{\rho}$ μοῖραί εἰσιν. εἰ δὲ ἡ μετάκλισις ἢ τὸ μῆκος ἔλαττόν εἰσι τοῦ τοιούτου πλάτους τῆς πόλεως, ἐκεῖνος ὁ ἀστὴρ ἀνίσχει καὶ αὖθις δύει καὶ τὸ πλάτος ἔνι τῆς ἀνατολῆς.

| Ἐπεὶ γοῦν χρεία τοῦ ψήφου τούτου, ἡ τραχηλαῖα τῆς μετακλίσεως ἢ τὸ μῆκος μερίζεται εἰς τὴν τραχηλαῖαν τοῦ τετελειωμένου πλάτους τῆς πόλεως. f54vV

1 δ΄] τετάρτη L ‖ 5 Περὶ] εἰς τὴν κατάληψιν L ‖ 10 ἢ] εἰ v,L

εἴ τι εὑρεθῇ, παρ' ἕνα βαθμὸν κρατεῖται, καὶ εὑρίσκεται ἡ τραχηλαῖα τοῦ πλάτους τῆς ἀνατολῆς. τὸ τόξον οὖν ταύτης κρατεῖται, καὶ εὑρίσκεται αὖθις τὸ πλάτος τῆς ἀνατολῆς.

Περὶ δὲ τοῦ γνῶναι τὸ πλάτος τῆς ἀνατολῆς εἴτε βόρειον εἴτε νότιον.

Ἐὰν ἡ μετάκλισις βορεία, καὶ τοῦτο. εἰ δὲ νοτία, καὶ τὸ πλάτος τοῦτο νότιον. εἰ δὲ ὁ ἥλιος μετάκλισιν οὐκ ἔχει ἢ ὁ ἀστὴρ μῆκος, | τηνικαῦτα εἰς f106vL τὸν τέλειον κύκλον εἰσὶ τῆς ἡμέρας καὶ πλάτος ἀνατολῆς οὐκ ἔχουσιν.

Κεφάλαιον β΄.Περὶ τῆς ὀρθώσεως τῆς ἡμέρας καὶ τῆς σαγίτας τῆς ἡμέρας

Ἐὰν ὁ ἥλιος μετάκλισιν οὐκ ἔχῃ ἢ ὁ ἀστὴρ μῆκος, ὄρθωσιν ἡμέρας οὐκ ἔχουσιν, καὶ τὸ ἥμισυ τόξον τῆς ἡμέρας $\overline{\rho}$ μοῖραί εἰσιν. εἰ δὲ ὁ ἥλιος καὶ ὁ ἀστὴρ ἔχουσι μετάκλισιν καὶ μῆκος, τηρεῖται ἑκάστου τραχηλαῖα εἰς τὴν τραχηλαῖαν τοῦ πλάτους τῆς πόλεως. εἴ τι εὑρεθῇ, μερίζεται εἰς τὴν τραχηλαῖαν τὴν τετελειωμένην ἑκάστου. εἴ τι εὑρεθῇ, ἐκεῖνο θεμέλιον λέγεται.

---

4 τε^1, τε^2] τι v,L ‖ 9 περὶ + τῆς καταλήψεως L ‖ 10 ἔχει v, L

Εἶτα ἐκεῖνο τὸ θεμέλιον μερίζεται εἰς τὴν τετελειωμένην τραχηλαῖαν τοῦ πλάτους τῆς πόλεως. εἴ τι εὑρεθῇ, παρ' ἕνα βαθμὸν ἔλαττον κρατεῖται, καὶ ἡ τραχηλαῖα τῆς ὀρθώσεως τῆς ἡμέρας εὑρίσκεται. εἶτα τὸ τόξον ἐκείνης κρατεῖται. καὶ τοῦτό ἐστιν ἡ ὄρθωσις τῆς ἡμέρας. κανόνιον ἐτέθη παρ' ἡμῶν διὰ τοῦτο ἤγουν τὴν ὄρθωσιν τὴν τετελειωμένην τῆς ἡμέρας. κατ' ἐναντίον οὖν τοῦ πλάτους οἵας βουλόμεθα πόλεως ἡ τραχηλαῖα τῆς ὀρθώσεως κρατεῖται τῆς ἡμέρας. καὶ κατ' ἐναντίον τῶν μοιρῶν τοῦ ἡλίου λεπτὰ γενικὰ κρατοῦνται. ταῦτα οὖν τὰ λεπτὰ τηροῦνται εἰς τὴν τραχηλαῖαν τῆς ὀρθώσεως τῆς ἡμέρας. εἴ τι εὑρεθῇ, παρ' ἕνα βαθμὸν κρατεῖται ὅπως εὑρεθῇ ἡ τραχηλαῖα | τῆς ὀρθώσεως τῆς ἡμέρας. εἶτα κρατεῖται τὸ τόξον τῆς τραχηλαίας ταύτης 285vv καὶ εὑρίσκεται ἡ ὄρθωσις τῆς | ἡμέρας εἰς τὰς μοίρας τοῦ ἡλίου | κατ' ἐκείνην f55rV, f107rL τὴν ἡμέραν. εἰ δὲ ἡ ὄρθωσις τῆς ἡμέρας διπλασιασθῇ, εὑρίσκεται περισσεία τῆς ἡμέρας.

Διαίρεσις. Περὶ τῆς σαγίτας τῆς ἡμέρας

Ἐὰν οὖν ἡ μετάκλισις ἢ τὸ μῆκος βόρειον, ἡ τραχηλαῖα τῆς ὀρθώσεως τῆς ἡμέρας εἰς τὰ $\overline{\xi}$ περισσεύεται. εἰ δὲ ἡ μετάκλισις ἢ τὸ μῆκος νότιον, ἡ τραχηλαῖα τῆς ὀρθώσεως τῆς ἡμέρας ἀπὸ τῶν $\overline{\xi}$ ἀφαιρεῖται, καὶ εὑρίσκεται ἡ σαγίτα τῆς ἡμέρας ἢ εἰς τὸν πλεονασμὸν ἢ εἰς τὴν ἀφαίρεσιν.

5 τὴν ὄρθωσιν τὴν τετελειωμένην] τὴν τετελειωμένην ὄρθωσιν Vv ‖ 6–7 κρατεῖται τῆς ὀρθώσεως v ‖ 13 post τῆς ἡμέρας V,v habent annotationem primam ‖ 14 περὶ τῆς σαγίτας] δεῖ εἰδέναι τὴν σαγίταν L ‖ 15 οὖν om Vv | βόρειον] βορεία Vv ‖ 16 νότιον] νότιος v, νότια V ‖ 18 τὸν πλεονασμὸν] τὸ περίσσευμα L | post τὴν ἀφαίρεσιν L habet annotationem primam | ἀφαίρεσιν] ἔλλειψιν Vv

Κεφάλαιον γ΄. Περὶ τοῦ τόξου τοῦ νυχθημέρου καὶ τῆς ὥρας τοῦ νυχθημέρου καὶ τῶν μοιρῶν τῆς μὴ ὀρθῆς ὥρας

| Οἱ ἀρχαῖοι ἐκεῖνοι οὕτως ἔθηκεν ὅτι τὸ ἓν νυχθήμερον $\overline{\text{τξ}}$ καιροί εἰσιν. f107vL
καὶ αὖθις τοῦτο τὸ νυχθήμερον $\overline{\text{κδ}}$ ὧραί εἰσιν. τοῦτο τὸ κεφάλαιον εἰς τὴν κατάληψιν ἐκείνων ἐτέθη. ἐὰν οὖν ἡ μετάκλισις ἢ τὸ μῆκος βόρεια, ἡ ὄρθωσις τῆς ἡμέρας ἑνοῦται τοῖς $\overline{\text{ρ}}$. εἰ δὲ νότια ταῦτα, ἀφαιρεῖται ἀπὸ τῶν $\overline{\text{ρ}}$. εἴ τι εὑρεθῇ, τὸ ἥμισυ τόξον ἐστὶ τῆς ἡμέρας. τοῦτο διπλασιάζεται, καὶ τετελειωμένον τὸ τόξον τῆς ἡμέρας εὑρίσκεται. καὶ ἄλλως ἐὰν ἡ μετάκλισις ἢ τὸ μῆκος | βόρειον, ἡ περισσεία τῆς ἡμέρας ἑνοῦται ταῖς $\overline{\text{ρπ}}$ μοίραις. εἰ f55vV
δὲ νότια ταῦτα, ἀφαιρεῖται | ἡ μετάκλισις ἢ τὸ μῆκος ἀπὸ τῶν $\overline{\text{ρπ}}$ μοιρῶν, f286rv
καὶ ἡ ἡμέρα τοῦ τόξου εὑρίσκεται. ἐὰν δὲ τὸ τόξον τῆς ἡμέρας ἀπὸ τῶν $\overline{\text{τξ}}$ ἀφαιρεθῇ, τὸ τόξον τῆς νυκτὸς εὑρίσκεται.

Διαίρεσις. Περὶ τῆς ὀρθῆς ὥρας

Τὸ τόξον τῆς ἡμέρας μερίζεται εἰς τὰ $\overline{\text{ιε}}$, καὶ ἡ ὀρθὴ ὥρα τῆς ἡμέρας πάσης

2 Περὶ] εἰς τὸ γνώρισμα L ‖ 4 τὸ om. L ‖ 9 καὶ om. Vv ‖ 10 βόρεια LVv | μοίραις om. Vv ‖ 14 Περὶ] εἰς τὴν κατάληψιν L

γίνεται δήλη. αὕτη οὖν ἡ τετελειωμένη | ὥρα τῆς ἡμέρας πάσης ἀπὸ τῶν $\overline{\text{κδ}}$ f108rL
ἀφαιρεῖται, καὶ ἡ ὥρα τῆς νυκτὸς πάσης εὑρίσκεται. εἰ δὲ τὸ τόξον τῆς ἡμέρας μερισθῇ εἰς τὰ $\overline{\text{ιβ}}$, τὰ τεμμάχια τῆς μὴ ὀρθῆς ὥρας τῆς ἡμέρας εὑρίσκονται. ταῦτα εἰ ἀφαιρεθῶσιν ἀπὸ τῶν $\overline{\lambda}$, τὰ τεμμάχια τῆς μὴ ὀρθῆς ὥρας τῆς νυκτὸς καταλαμβάνονται.

Διαίρεσις. Ἐὰν ἡ ὀρθὴ ὥρα τηρηθῇ εἰς τὰ $\overline{\text{ε}}$, καὶ τὸ ἐξελθὸν μερισθῇ εἰς τὰ $\overline{\delta}$, τὰ τεμμάχια τῆς μὴ ὀρθῆς ὥρας εὑρίσκονται. καὶ ἐὰν τὰ τεμμάχια τῆς μὴ ὀρθῆς ὥρας τηρηθῶσιν εἰς τὰ $\overline{\delta}$, καὶ μερισθῶσιν τὰ ἐξελθόντα εἰς τὰ $\overline{\text{ε}}$, ἡ ὥρα ἡ ὀρθὴ εὑρίσκεται.

Κεφάλαιον δ΄. Περὶ τῆς καταλήψεως τοῦ τόπου τῆς τύχης τῶν ζῳδίων εἰς τὰ πλάτη τῶν κλιμάτων πάντων

Γίνεται ἀφαίρεσις τῆς ὀρθώσεως τῆς ἡμέρας ἀπὸ τοῦ τόπου τῆς τύχης τῶν ζῳδίων μετὰ τῆς εὐθείας γραμμῆς ἥτις ἐστὶν ἀπὸ τῆς ἀρχῆς τοῦ Κριοῦ εἰς τὰ βόρεια ζῴδια. εἰ δὲ εἰς τὰ νότια ζῴδια, ἐνοῦται ἡ ὄρθωσις τῆς ἡμέρας τῷ τόπῳ τῆς τύχης τῶν ζῳδίων. εἴ τι εὑρεθῇ, ὁ τόπος τῆς τύχης καὶ τὸ πλάτος ἐστὶ τῆς πόλεως ἐκείνης.

4 ὥρας om. L ‖ 7 τεμμάχια + ταύτης L ‖ 10 δ΄ om. V ‖ 11 πάντων om. L ‖ 14 εἰς] ἐκ L

Μοίρα ε΄. Περὶ τῆς κινήσεως τῶν ἀπλανῶν ἀστέρων ἀπὸ τῶν αὐθημερινῶν ἐκείνων, καὶ τοῦ μήκους ἤτοι τῆς διαστάσεως ἐκείνων ἀπὸ τοῦ κύκλου τοῦ κατὰ τὸ νυχθήμερον κινουμένου, καὶ τῆς ἀναβάσεως τῶν τοιούτων ἀστέρων εἰς τὸν κύκλον | τοῦ μέσου τῆς ἡμέρας, καὶ τῆς μοίρας ἐκείνης ἥτις ἀπὸ τοῦ f108vL
ζῳδίου | ἐκείνου μετὰ τοῦ ἀστέρος ὁμοῦ εἰς τὸν κύκλον γίνεται τοῦ μέσου f56rV
τῆς ἡμέρας, καὶ τῆς μοίρας ἥτις μετὰ τοῦ ἀστέρος ἀνίσχει καὶ τῆς μοίρας ἥτις μετὰ τοῦ ἀστέρος δύει, καὶ τῆς ὥρας ἐκείνης τῆς κατὰ τὴν ἀνάβασιν καὶ κατάβασιν τούτων κατὰ τὴν ἡμέραν ἢ τὴν νύκτα

Ἡ μοῖρα δὲ αὕτη εἰς $\overline{\varepsilon}$ διαιρεῖται κεφάλαια.

Κεφάλαιον α΄. Περὶ τοῦ γνωρίσματος τοῦ αὐθημερινοῦ τῶν ἀστέρων.

Χρὴ εἰδέναι ὅτι οἱ $\overline{\kappa\varepsilon}$ ἀστέρες εἰς τὴν βίβλον ταύτην ἀπὸ τῶν φαινωμένων τούτων ἀστέρων ἐτέθησαν εἰς τὴν ἀρχὴν τοῦ χρόνου τοῦ ο·ϙ τῶν Ἀράβων. ἡνίκα οὖν γένηται χρεία τῆς καταλήψεως τοῦ αὐθημερινοῦ ἐκείνων εἰς τὸ μῆκος, τὰ ο·ϙ ἀπὸ τῶν χρόνων τῶν Ἀράβων ἀφαιρεῖται. εἴ τι καταλειφθῇ, μερίζεται εἰς τὰ $\overline{\xi\eta}$. εἴ τι | ἐξέλθῃ, μοῖραί εἰσιν. αὗται τηροῦνται εἰς τὰ $\overline{\nu\gamma}$ 286vv
δεύτερα λεπτά. εἴ τι εὑρεθῇ, ἑνοῦται τῷ αὐθημερινῷ ἐκείνων τῷ τεθέντι εἰς

8 τὴν om. L ‖ 9 δὲ om. L ‖ 11 τοῦ γνωρίσματος om. Vv | τοῦ^2] τῶν v ‖ 12 $\overline{\kappa\varepsilon}$ om. L ‖ 17 τῷ αὐθημερινῷ] εἰς τὸ αὐθημερινὸν L | τῷ τεθέντι in marg v

τὸ κανόνιον, καὶ εὑρίσκεται τὸ αὐθημερινὸν ἐκείνων τῶν ἀστέρων εἰς ἐκεῖνο τὸ μῆκος καὶ τὸ ἔτος.

Κεφάλαιον β΄. Περὶ τοῦ μήκους ἤτοι τῆς διαστάσεως τῶν ἀστέρων ἀπὸ τοῦ κύκλου τοῦ κατὰ τὸ νυχθήμερον κινουμένου καὶ τῆς ἐσχάτης ἀναβάσεως τούτων

Τηρεῖται. ἐὰν ὁ ἀστὴρ πλάτος οὐκ ἔχῃ, ἡ μετάκλισις ἡ πρώτη ἐκείνη κρατεῖται. καὶ τοῦτό ἐστι τὸ μῆκος τοῦ ἀστέρος ἀπὸ τῆς ὀρθώσεως τοῦ κύκλου. εἰ δὲ ὁ ἀστὴρ ἔχει | πλάτος, ἡ δευτέρα μετάκλισις ἐκείνη κρατεῖται f56v V καὶ τηρεῖται. ἔπειτα τηρεῖται εἰ βορεία ἐστὶν ἢ νότια ὡσαύτως καὶ τὸ πλάτος εἴτε βόρειόν ἐστιν εἴτε νότιον.

Ἔπειτα τηρεῖται. ἐὰν ὦσι καὶ τὰ δύο – ἡ μετάκλισις καὶ τὸ πλάτος – ἢ βόρεια ἢ νότια, ἑνοῦται. εἰ δὲ τὸ ἕν ἐστι βόρειον καὶ τὸ ἕτερον νότιον, εἰ μέν εἰσι καὶ τὰ δύο ἐξισούμενα, ὁ ἀστὴρ εἰς τὸν κύκλον ἐστὶ καὶ οὐκ ἔχει μῆκος. εἰ δ' οὐκ ἐξισοῦνται, τὸ ἔλαττον ἀφαιρεῖται τοῦ πλείονος. εἴ τι καταλειφθῇ, τηρεῖται. ἐὰν τὸ πλέον εἰς τὸ βόρειον ᾖ, τοῦτο βόρειόν ἐστιν. εἰ δὲ τὸ νότιον

1 τὸ + μέγα v ‖ 2 τὸ μῆκος καὶ om. L | post τὸ ἔτος LVv habent annotationem secundam ‖ 9 β΄ L ‖ 10 τηρεῖται[1] om. Vv | νότια + κατλαμβάνονται Vv ‖ 11 εἴτε[1]] εἰ Vv | εἴτε[2]] ἢ Vv ‖ 12 ἔπειτα τηρεῖται om. Vv | ἐὰν ὦσι] εἰ μὲν οὖν εἰσι Vv | ἢ[1] om. Vv ‖ 13 ἢ[2]] εἴ τε Vv | ἐστι om. Vv ‖ 15 δὲ L | τὸ] οἷόν ἐστιν L

πλέον, τὸ τηρούμενον παρ' ἡμῶν νότιον. εἶτα τηρεῖται. ἐὰν ὁ ἀστὴρ εἰς τὸ ξ ἐστὶ τοῦ Καρκίνου, ἢ εἰς τὸ ξ τοῦ Αἰγοκέρωτος, εἴ τι ἐκρατήθη, τὸ μῆκός ἐστι | ἐκείνου ἀπὸ τοῦ κύκλου τῆς ἡμέρας. εἰ δὲ ὁ ἀστὴρ οὐκ ἔστιν εἰς ταῦτα f109vL
– ἤγουν εἰς τὸν Καρκίνον ἢ τὸν Αἰγοκέρωτα – ἀλλὰ ἀλλαχοῦ, ὅπερ ἐτηρεῖτο παρ' ἡμῶν, ἐκεῖνό ἐστιν ἡ μοῖρα τοῦ μήκους ἀπὸ τοῦ κύκλου τῆς ὀρθώσεως τῆς ἡμέρας.

Διαίρεσις. Εἰς τὴν κατάληψιν τοῦ μήκους τῶν ἀστέρων ἀπὸ τῆς ὀρθώσεως τοῦ κύκλου τῆς ἡμέρας

Κρατεῖται ἡ τραχηλαῖα τῆς μοίρας τοῦ μήκους, καὶ τηρεῖται εἰς τὴν τραχηλαῖαν τῆς τετελειωμένης μετακλίσεως τῆς μεγίστης. εἴ τι εὑρεθῇ, μερίζεται εἰς τὴν τετελειωμένην β΄ μετάκλισιν τοῦ αὐθημερινοῦ τοῦ ἀστέρος ἐκείνου. καὶ ἡ τραχηλαῖα τοῦ μήκους εὑρίσκεται ἀπὸ τῆς ὀρθώσεως τοῦ κύκλου τῆς ἡμέρας. | εἰ δὲ τὸ αὐθημερινὸν τοῦ ἀστέρος μετάκλισιν οὐκ 287rv
ἔχει, εἴ τι εὑρεθῇ ἀπὸ τῆς κρούσεως τῆς τραχηλαίας τῆς τετελειωμένης μετακλίσεως, κρατεῖται ἔλαττον ἑνὸς βαθμοῦ. εἴ τι εὑρεθῇ, ἡ τραχηλαῖα τοῦ μήκους ἐστὶν ἀπὸ τῆς ὀρθώσεως | τῆς ἡμέρας. τὸ τόξον ἐκείνης κρατεῖται. f57rV

---

1 πλέον + ἦν L | παρ' ἡμῶν om. Vv | νότιον om. Vv ‖ 2 ἐστὶ om. Vv ‖ 3 ἐκεῖνος Vv ‖ 4 ἢ + καὶ L | ἀλλὰ ἀλλαχοῦ om. Vv ‖ 10 μετακλίσεως τῆς μεγίστης] μεγίστης μετακλίσεως Vv ‖ 11 δευτέραν Vv

Διαίρεσις . Εἰς τὸ εἰδέναι τὴν ἀνάβασιν τῆς ὀρθώσεως τῆς ἡμέρας

Πρὸ τούτου ἐρρέθη.

Κεφάλαιον γ΄ . Περὶ τῆς καταλήψεως τῶν μοιρῶν ἐκείνων τῶν μετὰ τοῦ ἀστέρος γινομένων εἰς τὸν κύκλον τοῦ μέσου τῆς ἡμέρας

Οἷος ἀστὴρ πλάτος οὐκ ἔχει, ἐκεῖνος ὁ ἀστὴρ μετὰ τῆς μοίρας τοῦ ἰδίου αὐθημερινοῦ εἰς τὸν κύκλον τοῦ μέσου τῆς ἡμέρας γίνεται. εἰ δὲ ὁ ἀστὴρ ἔχει πλάτος, ἐκεῖνος ὁ ἀστήρ, εἰ ἔστι μέσον τοῦ Καρκίνου, τοῦ Ζυγοῦ καὶ τοῦ Αἰγοκέρωτος, τὸ πλάτος ἐκεῖνο νότιον, καὶ ὁ ἀστὴρ οὗτος | πρότερον f110rL τῆς ἰδίας μοίρας φθάνει εἰς τὸ μεσουράνημα. εἰ δὲ ὁ ἀστὴρ μέσον ἐστὶ τοῦ Αἰγοκέρωτος, τοῦ Κριοῦ καὶ τοῦ Καρκίνου, τὸ πλάτος ἐκείνου βόρειον καὶ ὁ ἀστὴρ πρὸ τῆς ἰδίας μοίρας εἰς τὸν μέσον τῆς ἡμέρας γίνεται κύκλον. κρατεῖται ἡ τραχηλαῖα τοῦ τετελειωμένου πλάτους, και τηρεῖται εἰς τὴν τραχηλαῖαν τοῦ μήκους τοῦ ἀστέρος ἀπὸ τῆς ἀρχῆς τοῦ Καρκίνου ἢ τῆς ἀρχῆς τοῦ Αἰγοκέρωτος οἷον ἀπὸ τούτων τῶν ζῳδίων ἐστὶν ἐγγύτερον τοῦ ἀστέρος. εἴ τι εὑρεθῇ, μερίζεται εἰς τὴν τετελειωμένην τραχηλαῖαν τοῦ μήκους τοῦ ἀστέρος ἀπὸ τοῦ κύκλου τῆς ὀρθώσεως τῆς ἡμέρας. εἴ τι

1 εἰδέναι τὴν ἀνάβασιν] γνώρισμα τῆς ἀναβάσεως L ‖ 3 Περὶ τῆς καταλήψεως] εἰς τὴν κατάληψιν L ‖ 11 post μοίρας add et cancell φθάνει v | post μέσον add et cancell -ουράνημα. εἰ δὲ ὁ ἀ- v ‖ 14 ζῳδίων post ἐγγύτερον Vv ‖ 15 τὴν τραχηλαῖαν τὴν τετελειωμένην L

εὑρεθῇ, ἡ τραχηλαΐά ἐστι τῆς ὀρθώσεως καὶ τὸ τόξον ἐκείνης κρατεῖται. εἶτα τηρεῖται. ἐὰν τὸ αὐθημερινὸν τοῦ ἀστέρος ὄπισθεν ᾖ τοῦ Καρκίνου ἢ τοῦ Αἰγοκέρωτος, ἐκείνη ἡ ὄρθωσις περισσεύεται εἰς τὸν τόπον τῆς τύχης εἰς τὸ ξ τοῦ Καρκίνου ἢ εἰς τὸ ξ τοῦ Αἰγοκέρωτος μετὰ τῆς εὐθείας γραμμῆς. εἴ τι εὑρεθῇ, κατ' ἐναντίον ἐκείνου γίνεται εἰσέλευσις εἰς τὰ κανόνια τοῦ τόπου τῆς τύχης μετὰ τῆς εὐθείας γραμμῆς. καὶ κατ' ἐναντίον ἐκείνου ψήφου κρατοῦνται τὰ ζῴδια ἄνω καὶ αἱ μοῖραι ἐκ τοῦ πλαγίου. καὶ ὁ ψῆφος ὁ ἕτερος ὁ μέσον τῶν $\overline{\beta}$ κανονίων | πληροῦται ὡς ἐρρέθη. εἴ τι ἐξέλθῃ, ἐκεῖνο f57vV
μοῖρά ἐστιν ὅτι μετὰ τοῦ ἀστέρος ὁμοῦ φθάνει εἰς τὸ μεσουράνημα.

Κεφάλαιον δ'. Περὶ τῆς μοίρας ἐκείνης ἥτις ἀνίσχει μετὰ τοῦ ἀστέρος

Ἐὰν ὁ ἀστὴρ πλάτος οὐκ ἔχει, ἐκεῖνος ὁ ἀστὴρ μετὰ τῆς μοίρας τοῦ αὐθημερινοῦ | ἀνίσχει. εἰ δὲ ὁ ἀστὴρ ἔχει πλάτος, ὁ τόπος τῆς τύχης τούτου f110vL
μετὰ τῆς εὐθείας γραμμῆς καταλαμβάνεται, καὶ ἡ ἀρχὴ τούτου ἀπὸ τῆς ἀρχῆς τοῦ Αἰγοκέρωτος. εἴ τι εὑρεθῇ, κρατεῖται. ἔπειτα τηρεῖται. ἐὰν τὸ μῆκος τοῦ ἀστέρος ἀπὸ τῆς ὀρθώσεως τοῦ κύκλου τῆς ἡμέρας βόρειον ᾖ, ἡ ὄρθωσις τῆς ἡμέρας ἀφαιρεῖται | ἀπὸ τοῦ τόπου τῆς τύχης. εἰ δὲ νότιόν ἐστι τὸ μῆκος f287vv
τοῦ ἀστέρος, ἑνοῦται τῷ τόπῳ τῆς τύχης. εἴ τι εὑρεθῇ, ἀπὸ τούτου ἀεὶ $\overline{\rho}$

2 ᾖ] ἢ v ‖ 8 δύο Vv ‖ 10 Περὶ] εἰς τὸ γνώρισμα L

ἀφαιροῦνται. εἴ τι καταλειφθῇ, τόπος τῆς τύχης τῶν μοιρῶν ἐστι μεθ' ὧν ἀνίσχει ὁ ἀστήρ. κατ' ἐναντίον τούτου εἰς τὸ κανόνιον τοῦ τόπου τῆς τύχης γίνεται εἰσέλευσις. ἔνθα εὑρεθῇ μέσον τοῦ κανονίου ὁ ψῆφος, κατ' ἐναντίον τούτου κρατοῦνται ἄνω τὰ ζῴδια καὶ ἐκ πλαγίου αἱ μοῖραι, καὶ τὰ λεπτὰ μέσον τῶν $\overline{\beta}$ κανονίων τηροῦνται ὡς ἐρρέθη.

Διαίρεσις. Περὶ τῆς μετὰ τοῦ ἀστέρος δυνούσης μοίρας

Ἐπεὶ χρεία ψήφου, τὸ τόξον τοῦ ἀστέρος τῆς ἡμέρας ἑνοῦται τῇ μοίρᾳ τοῦ τόπου τῆς τύχης ἥτις ἀνίσχει μετ' ἐκεῖνον. εἴ τι εὑρεθῇ, εἰς τὸ κανόνιον τοῦ τόπου τῆς τύχης τοῦ πλάτους τῆς πόλεως ἐκείνης ἀπὸ ζῳδίων καὶ μοιρῶν ἐξ ἐκείνης τηρεῖται ὡς ἐρρέθη. εἴ τι εὑρεθῇ, $\overline{\varsigma}$ ζῴδια ἑνοῦται τούτῳ, καὶ εὑρίσκονται αἱ μοῖραι ἐκεῖναι αἱ μετὰ τοῦ ἀστέρος δύνουσαι.

Κεφάλαιον ε΄. Περὶ τοῦ ἀστέρος ὅταν ἀνίσχει καὶ δύνῃ ἢ κατὰ τὴν νύκτα ἢ τὴν ἡμέραν

| Τηρεῖται ἡ μοῖρα ἐκείνη ἡ ἀνίσχουσα | μετὰ τοῦ ἀστέρος. ἐὰν ᾖ μέσον f58rV, f111rL
τοῦ ἡλίου καὶ τῆς διαμέτρου τούτου, κατὰ τὴν ἡμέραν ἀνίσχει ὁ ἀστήρ. εἰ

1 post καταλειφθῇ v add et cancell ὁ ‖ 4 αἱ μοῖραι ἐκ πλαγίου Vv ‖ 6 Περὶ] εἰς τὸ γνώρισμα L | μετὰ om. Vv ‖ 7 τῇ μοίρᾳ in marg. v ‖ 8 τῷ τόπῳ v ‖ 10 ἐρρέθη] εἰρεῖται L | ζῳδίῳ v ‖ 12 Περὶ] εἰς τὴν κατάληψιν L | κατὰ τὴν νύκτα] ἀπὸ τῆς ἡμέρας L ‖ 13 τὴν ἡμέραν] τῆς νυκτὸς L

δὲ ἡ μοῖρα εὑρεθῇ μέσον τῆς διαμέτρου τοῦ ἡλίου καὶ αὐτοῦ τοῦ ἡλίου, κατὰ τὴν νύκτα. ἐὰν ἀνίσχει ὁ ἀστὴρ κατὰ τὴν ἡμέραν, ὁ τόπος τῆς τύχης τῶν μοιρῶν τοῦ ἡλίου εἰς τὸ πλάτος τῆς πόλεως ἐκείνης ἀφαιρεῖται ἀπὸ τοῦ τόπου τῆς τύχης τῶν μοιρῶν τῶν ἀνισχόντων μετὰ τοῦ ἡλίου. εἴ τι εὑρεθῇ, ἐκεῖνο
5 περιφορά ἐστιν ἀπὸ τῆς ἀρχῆς τῆς ἡμέρας ἐκείνης ὅταν ἀνίσχει ὁ ἀστήρ. εἰ δὲ ἀνίσχει ὁ ἀστὴρ κατὰ τὴν νύκτα, ὁ τόπος τῆς τύχης τῶν μοιρῶν τῆς διαμέτρου τοῦ ἡλίου εἰς τὸ πλάτος τῆς πόλεως ἀφαιρεῖται ἀπὸ τοῦ τοποῦ τῆς τύχης τοῦ ἀστέρος. εἴ τι καταλειφθῇ, περιφορά ἐστιν ἀπὸ τῆς ἀρχῆς τῆς νυκτὸς μέχρι τῆς ὥρας καθ' ἣν ἀνίσχει ὁ ἀστήρ. καὶ εἰς τοῦτον τὸν ψῆφον τὸν ῥηθέντα
10 εἰ βουληθῶμεν εἰδέναι ὅταν δύνῃ ὁ ἀστήρ, ἐκείνη ἡ μοῖρα ἡ δύνουσα οὕτως κρατεῖται ὅτι ἀνίσχει καὶ ὁμοίως γίνεται ἡ μέθοδος.

---

2 κατὰ τὴν ἡμέραν sup. lin v

Μοῖρα ς΄. Περὶ τῆς καταλήψεως ἐκείνης ὅτι ἀπὸ τῆς ἡμέρας πόσαι ὧραι παρῆλθον καὶ πόσαι μοῖραι ἀπὸ τῆς μὴ ὀρθῆς ὥρας καὶ τῶν ὡρῶν τῆς τύχης καὶ τῆς ὀρθώσεως τῶν $\overline{\iota\beta}$ οἰκημάτων καὶ τῆς καταλήψεως τοῦ σημείου ἑκάστης ἀναβάσεως καὶ τοῦ σημείου τῆς προσευχῆς

Αὕτη ἡ μοῖρα εἰς $\overline{\zeta}$ διαιρεῖται κεφάλαια.

Κεφάλαιον α΄. Περὶ τῆς καταλήψεως | τῆς περιφορᾶς τοῦ ἡλίου ὅταν ἀνίσχῃ f288rv, f111vL
| καθ' ὃν καιρὸν βουλόμεθα εἰδέναι τοῦτο ἤγουν τὴν ὀρθὴν ὥραν καὶ | τὴν μὴ f58vV
ὀρθήν

Ἐπεὶ χρεία εἰς τὸ γνῶναι καὶ ἐργᾶσθαι τὴν ἐπιστήμην ταύτην, πρῶτον κρατεῖται διὰ τοῦ ἀστρολάβου ἡ ἀνάβασις τοῦ ἡλίου καθ' ὃν καιρὸν βουλόμεθα, καὶ τοῦτο λέγεται ἀνάβασις τοῦ καιροῦ. ἔπειτα ἡ ἐσχάτη ἀνάβασις τοῦ ἡλίου εἰς ἐκείνην τὴν ἡμέραν καταλαμβάνεται ὡσαύτως, καὶ σαγίτα τῆς ἡμέρας ζητεῖται καὶ εὑρίσκεται. βουλομένων δ' ἡμῶν ποιῆσαι ψῆφον ποιοῦμεν οὕτως· τηρεῖται ἡ τραχηλαῖα τῆς ἀναβάσεως ἐκείνης εἰς τὴν σαγίταν τῆς ἡμέρας. εἴ τι εὑρεθῇ, μερίζεται εἰς τὴν τραχηλαῖαν τῆς ἐσχάτης ἀναβάσεως. εἴ τι εὑρεθῇ, ἐκεῖνο τραχηλαῖά ἐστιν. τοῦτο ἀεὶ ἀφαιρεῖται ἀπὸ τῆς σαγίτας τῆς ἡμέρας. εἴ τι καταλειφθῇ, ἐκεῖνο σαγίτα ἐστίν. ἀπὸ

1 ἕκτη v ‖ 2 ὥρας om v ‖ 7 τοῦτο add et cancell v ‖ 14 οὕτως] ὅπως v

ταύτης ζητεῖται τὸ τόξον ἐκείνης. εἴ τι εὑρεθῇ, ἐκεῖνο περισσεία λέγεται τῆς περιφορᾶς. ἔπειτα τηρεῖται ὁ καιρὸς τῆς ἀναβάσεως. εἴπερ ἐστὶ πρὸ τοῦ μέσου τῆς ἡμέρας, ἡ περισσεία αὕτη ἀφαιρεῖται ἀπὸ τοῦ ἥμισυ τόξου τῆς ἡμέρας. εἰ δὲ μετὰ τὸ μέσον τῆς ἡμέρας, ἑνοῦται τούτῳ καὶ εὑρίσκεται ἡ περιφορὰ ἀπ' ἐκείνης τῆς ὥρας ὅταν ἀνίσχει ὁ ἥλιος μέχρι καὶ τοῦ καιροῦ ἐκείνου, ἡνίκα γίνεται ἡ ζήτησις. ἀπὸ τούτου οὖν ἐκβάλλονται αἱ ὧραι.

Διαίρεσις. | Εἰς τὸ γνώρισμα τῆς ἀναβάσεως τοῦ ἀστέρος κατὰ τὸν καιρὸν f112rL
ὃν βούλεταί τις ἀπὸ τῆς περιφορᾶς

Χρείας γενομένης περὶ τοῦ ψήφου τούτου καταλαμβάνεται ἡ περισσεία τῆς σαγίτας καὶ ἀφαιρεῖται ἀπὸ τῆς σαγίτας τῆς ἡμέρας. εἴ τι καταλειφθῇ, τραχηλαῖά ἐστιν. ἐκείνη ἡ τραχηλαῖα τηρεῖται εἰς τὴν τραχηλαῖαν τῆς ἐσχάτης ἀναβάσεως εἰς τὸν κύκλον τοῦ μέσου τῆς ἡμέρας. εἴ τι εὑρεθῇ, | μερίζεται f59rV
εἰς τὴν σαγίταν τῆς ἡμέρας. τὸ καταλειφθὲν τραχηλαῖά ἐστι τῆς ἀναβάσεως ἐκείνου τοῦ καίρου.

Διαίρεσις. Εἰς τὸ εἰδέναι εἴ τι παρῆλθεν ἀπὸ τῆς νυκτός

Ἡ ἀνάβασις τοῦ ἀπλανοῦς ἀστέρος κρατεῖται. καὶ ὁμοίως μεθοδεύεται

---

1 λέγεται] ἀναλέγεται L ‖ 3 αὕτη] οὕτω L ‖ 13 τὸ καταλειφθὲν] εἴ τι εὑρεθῇ L

ὡς καὶ ἐπὶ τοῦ ἡλίου καὶ ὁ αὐτὸς ἀπαράλλακτος ψῆφος. κἀνταῦθα γὰρ ἡ τραχηλαῖα τῆς ἀναβάσεως ἐκείνης εἰς τὴν σαγίταν τῆς ἡμέρας τηρεῖται, καὶ καθεξῆς γίνεται ψῆφος ὡς ἐκεῖ. καὶ εὑρίσκεται ἡ περιφορὰ ἀπ' ἐκείνης τῆς ὥρας ὅταν ἀνίσχῃ ὁ ἀστὴρ μέχρι καὶ τῆς ὥρας ἡνίκα γίνεται ἡ ζήτησις.

Διαίρεσις. Εἰς τὴν κατάληψιν ἐκείνου πόσαι ὧραι παρῆλθον τῆς ἡμέρας ἀπὸ τῶν μὴ ὀρθῶν ὡρῶν

Ἐκεῖνο καταλαμβάνεται ἀπὸ τῆς ἀναβάσεως τοῦ καιροῦ καὶ τῆς ἀναβάσεως τοῦ | μέσου κύκλου τῆς ἡμέρας. καὶ γὰρ ἡ τραχηλαῖα τῆς f59vV
ἀναβάσεως τοῦ καιροῦ εἰς τὴν τραχηλαῖαν τῆς ἐσχάτης τῆς ἀναβάσεως μερίζεται. εἴ τι εὑρεθῇ, παρ' ἕνα βαθμὸν ἔλαττον κρατεῖται. εἴ τι εὑρεθῇ, τραχηλαῖά ἐστιν. τὸ τόξον ταύτης κρατεῖται καὶ μερίζεται εἰς τὰ $\overline{\iota\epsilon}$. εἴ τι εὑρεθῇ, ἡ μὴ ὀρθή ἐστιν ὥρα. εἰ οὖν ἡ ἀνάβασις ἐκείνη ἡ κρατειθεῖσα πρὸ τοῦ μέσου τῆς ἡμέρας ἐστίν, ἐκείνη ἡ εὑρεθεῖσα ὥρα ἡ μὴ ὀρθή ἐστιν ἀπὸ τῆς ἀρχῆς τῆς ἡμέρας μέχρι τότε. εἰ δέ ἐστιν ἡ ἀνάβασις αὕτη μετὰ τὸ μέσον τῆς ἡμέρας, ἐκείνη ἡ ὥρα | ἀφαιρεῖται ἀπὸ τῶν $\overline{\iota\beta}$. εἴ τι καταλειφθῇ, ἡ ὥρα f113rL
ἡ μὴ ὀρθή ἐστιν ἀπὸ τῆς ἀρχῆς τῆς ἡμέρας μέχρι τότε. εἰ βουληθῶμεν ἀπὸ τῶν μὴ ὀρθῶν ὡρῶν εἰδέναι τὴν ἀνάβασιν, τηροῦνται αἱ ὧραι ἐκεῖναι εἰς τὰ

3 ὡς om Vv ‖ 4 post ἡ ζήτησις LVv habent annotationem tertiam ‖ 5 τὴν κατάληψιν ἐκείνου] τὸ εἰδέναι Vv ‖ 8 τοῦ μέσου κύκλου τῆς ἡμέρας] τοῦ κύκλου τῆς ἡμέρας μέσου L ‖ 10 κρατεῖται ἔλαττον L ‖ 11–12 εἴ τι εὑρεθῇ] τὸ καταλειφθὲν Vv ‖ 12 οὖν] γοῦν v ‖ 14 μετὰ] κατὰ Vv

ιε̅. εἴ τι εὑρεθῇ, ἡ τραχηλαῖα ἐκείνη τηρεῖται εἰς τὴν τραχηλαῖαν τῆς ἐσχάτης ἀναβάσεως. εἴ τι ἐξέλθῃ, παρ' ἕνα βαθμὸν ἔλαττον κρατεῖται. εἴ τι εὑρεθῇ, τραχηλαῖά ἐστιν τῆς ἀναβάσεως τοῦ καιροῦ.

Κεφάλαιον β΄. Εἰς τὴν κατάληψιν τῆς ὥρας ἐκ τῆς περιφορᾶς καὶ ἐξ ἄλλων τινῶν

Ἐπεὶ χρεία γενέσθαι τὴν ἐργασίαν ταύτην, εἰ ⟨ἔστιν⟩ ἡ περιφορὰ ἀπὸ τῆς ἡμέρας, ἑνοῦται τῷ τόπῳ τῆς τύχης τοῦ αὐθημερινοῦ τοῦ ἡλίου εἰς τὸ πλάτος τῆς πόλεως. εἰ δ' ἐστὶν ἡ περιφορὰ τῆς νυκτός, ἑνοῦται ἐκείνη ἡ περιφορὰ τῷ τόπῳ τῆς τύχης τῆς διαμέτρου τοῦ αὐθημερινοῦ τοῦ ἡλίου εἰς τὸ πλάτος τῆς πόλεως. εἴ τι εὑρεθῇ, κατ' ἐναντίον ἐκείνης γίνεται εἰσέλευσις μέσον τοῦ κανονίου τοῦ πλάτους τῶν πόλεων, ὅπερ ἐστὶ καὶ τόπος τῆς τύχης, καὶ κρατοῦνται ἐκεῖθεν ζῴδια καὶ μοῖραι καὶ λεπτὰ μετὰ τῆς μεθόδου τοῦ πολλάκις εἰρημένου ψήφου. εἴ τι εὑρεθῇ, ζῴδια, μοῖραι | καὶ λεπτά εἰσι τῆς f60rV
τύχης εἰς τὸν καιρὸν ἐκεῖνον ἡνίκα ἐκρατήθη ἡ ἀνάβασις. εἰ δέ ἐστι γνώριμος ἡ παρελθοῦσα ὥρα ἀπὸ τῆς ἡμέρας ἢ τῆς νυκτός, [ἐὰν] ἡ ὥρα ἐκείνη | ἀπὸ f289rv
τῶν ὀρθῶν εἰς τὰ ιε̅ τηρεῖται. εἰ δέ ἐστιν ἀπὸ τῶν μὴ ὀρθῶν, ἐκείνη εἰς τὰ

---

6 Ἐπεὶ χρεία γενέσθαι τὴν ἐργασιάν ταύτην] ἐπὰν γένηται χρεία τῆς ἐργασίας ταύτης Vv | εἰ] ἐὰν L ‖ 7 τῆς τύχης + τῆς διαμέτρου L ‖ 8–10 εἰ δ' ἐστὶν ... τῆς πόλεως om. L ‖ 446.16–447.1 τὰ τεμμάχια] τὴν τραχηλαῖαν v

τεμμάχια τῆς μὴ ὀρθῆς ὥρας τηρεῖται. εἴ τι εὑρεθῇ, περιφορά ἐστιν αφ' ἧς ἐκβάλλεται | ὁ κλῆρος τῆς τύχης. f113rL

Διαίρεσις. Εἰς τὴν κατάληψιν τῆς τύχης ἀπὸ τῶν μοιρῶν τοῦ ι΄ οἰκήματος

Ὁ τόπος τῆς τύχης μετὰ τῆς εὐθείας γραμμῆς κρατεῖται ἀπὸ τούτων τῶν μοιρῶν, καὶ ἡ ἀρχὴ τούτου ἀπὸ τῆς ἀρχῆς τοῦ Αἰγοκέρωτος. εἴ τι εὑρεθῇ, κατ' ἐναντίον τούτου γίνεται εἰσέλευσις εἰς τὸ μέσον τοῦ κανονίου τοῦ τόπου τῆς τύχης τοῦ πλάτους τῶν πόλεων, καὶ ἐκεῖθεν κρατοῦνται τὰ ζῴδια καὶ αἱ μοῖραι κατὰ τὴν ῥηθεῖσαν μέθοδον. καὶ εἴ τι ἐξέλθῃ, ἐκεῖνό ἐστιν ἡ τύχη.

Κεφάλαιον γ΄. Περὶ τῆς καταλήψεως τῆς περιφορᾶς τῶν ὡρῶν ἀπὸ τῆς τύχης

Ζητεῖται καὶ κρατεῖται τὸ αὐθημερινὸν τοῦ ἡλίου καὶ αἱ μοῖραι τῆς τύχης, καὶ τηροῦνται. ἐὰν τὸ αὐθημερινὸν τοῦ ἡλίου μέσον τοῦ ζ΄ καὶ ι΄ οἰκήματός ἐστιν, ὁ τόπος τῆς τύχης αὐθημερινοῦ τοῦ ἡλίου μετὰ τοῦ ἀπὸ του πλάτους τῆς πόλεως ἀπὸ τοῦ τόπου τῆς τύχης τοῦ πλάτους τῆς πόλεως ἀφαιρεῖται. εἴ τι καταλειφθῇ, περιφορά ἐστιν ἀπὸ τῆς ἀρχῆς τῆς παρελθούσης ἡμέρας ἐκείνης. εἰ δὲ τὸ αὐθημερινὸν τοῦ ἡλίου μέσον τῶν οἰκημάτων τῆς τύχης τοῦ δ΄ καὶ ζ΄ ἐστιν, ὁ τόπος τῆς τύχης τῆς διαμέτρου τοῦ ἡλίου ἀπὸ τοῦ τόπου τῆς

3 ι΄ om. V ‖ 9 τρίτον V ‖ 12 τοῦ ἀπὸ του] τούτου L

τύχης καὶ τοῦ πλάτους τῆς πόλεως ἀφαιρεῖται. εἴ τι καταλειφθῇ, περιφο|ρά f60vV
ἐστιν ἀπὸ τῆς ἀρχῆς τῆς νυκτὸς μέχρι τῆς ὥρας τοῦ καιροῦ τούτου. | ἀπ' f114rL
ἐκείνης τῆς περιφορᾶς ἐκβάλλεται ἡ ὥρα ἡ ὀρθὴ καὶ μὴ ὀρθή.

Κεφάλαιον δ΄ . Περὶ τῆς καταλήψεως τῶν $\overline{\iota\beta}$ οἰκημάτων ἤγουν τῆς ὀρθώσεως
5 αὐτῶν.

Ἐπεὶ χρεία γενέσθαι τὴν μέθοδον ταύτην, αἱ μοῖραι τῶν ὡρῶν καὶ αἱ μοῖραι τῆς τύχης γινώσκονται καὶ διπλασιάζονται. εἴ τι εὑρεθῇ, τοῦτο ὄρθωσις πρώτη ἐστίν, ὅπερ ἀεὶ ἀφαιρεῖται ἀπὸ τῶν $\overline{\xi}$. καὶ δευτέρα γίνεται ὄρθωσις. ταῦτα οὖν καὶ τὰ $\overline{\beta}$ τηροῦνται. ἔπειτα κρατεῖται ὁ τόπος τῆς τύχης καὶ τὸ
10 πλάτος τῆς πόλεως ἐκείνης. τούτῳ ἐτέθη ὄνομα δέκατον. οὗτος ὁ ψῆφος ἐτέθη εἰς τὸ δέκατον οἴκημα. εἶτα ἡ πρώτη ὄρθωσις ἑνοῦται τούτῳ. εἴ τι εὑρεθῇ, τοῦτο τόπος τῆς τύχης τοῦ ἑνδεκάτου οἰκήματος. καὶ αὖθις ἡ πρώτη ὄρθωσις ἑνοῦται τῷ τοιούτῳ τόπῳ τῆς τύχης τοῦ ἑνδεκάτου οἰκήματος. εἴ τι οὖν εὑρεθῇ, τόπος τῆς τύχης τοῦ δωδεκάτου οἰκήματός ἐστιν. εἶτ' αὖθις
15 ἡ πρώτη ὄρθωσις ἑνοῦται τῷ δωδεκάτῳ οἰκήματι, καὶ εὑρίσκεται ὁ τόπος τῆς τύχης. εἶτα ἡ δευτέρα ὄρθωσις ἑνοῦται τῷ τοιούτῳ τόπῳ τῆς τύχης, καὶ γίνεται ὁ τόπος τῆς τύχης τοῦ δευτέρου οἰκήματος. καὶ αὖθις ἡ δευτέρα

14 οὖν omVv | εὑρεθῇ] ἐξέλθῃ Vv ‖ 17 β΄ Vv

ὄρθωσις εἰς τὸν τόπον τῆς τύχης τοῦ δευτέρου οἰκήματος περισσεύεται. καὶ ὁ τόπος τῆς τύχης τοῦ τρίτου οἰκήματος εὑρίσκεται. καὶ αὖθις | ἡ δευτέρα f114vL
ὄρθωσις ἑνοῦται τῷ τόπῳ τῆς τύχης τοῦ τρίτου οἰκήματος. |καὶ τὸ τέταρτον f289vv, f61rV
οἴκημα |εὑρίσκεται τοῦ τόπου τῆς τύχης. εἶτα ὁ τόπος τῆς τύχης τοῦ ι´ οἰκήματος εἰσάγεται εἰς τὸ κανόνιον τοῦ τόπου τῆς τύχης τοῦ μετὰ τῆς εὐθείας γραμμῆς ἀπὸ τῆς ἀρχῆς τοῦ Αἰγοκέρωτος. καὶ κατ' ἐναντίον τοῦ εὑρεθέντος ψήφου μέσον τοῦ κανονίου κρατοῦνται τὰ ζῴδια ἄνω καὶ αἱ μοῖραι ἐκ πλαγίου μετὰ τοῦ ψήφου εὑρεθέντος μέσον τῶν δύο κανονίων. εἴ τι εὑρεθῇ, κέντρον ἐστὶ τοῦ ι´ οἰκήματος. ὡσαύτως ὁ τόπος τῆς τύχης τοῦ ια´ οἰκήματος τηρεῖται εἰς τὸ κανόνιον τοῦ τόπου τῆς τύχης τοῦ μετὰ τῆς εὐθείας γραμμῆς. καὶ γίνεται εἰς τοῦτο καὶ ἐν τοῖς λοιποῖς οἰκήμασι μέχρι καὶ τοῦ δ´ ὡς ἐρρέθη καὶ ἐπὶ τοῦ ι´ οἰκήματος. καὶ εὑρίσκονται τὰ κέντρα τούτων.

Εἶτα αἱ μοῖραι τοῦ ε´ οἰκήματος κατ' ἐναντίον εἰσὶ τοῦ ια´, καὶ αἱ μοῖραι τοῦ ς´ οἰκήματος κατ' ἐναντίον τοῦ ιβ´. καὶ αἱ τοῦ ζ´ ὡσαύτως τῶν μοιρῶν τοῦ α´ οἰκήματος, καὶ αἱ τοῦ η´ τῶν τοῦ β´ καὶ αἱ τοῦ ἐνάτου οἰκήματος μοῖραι κατ' ἐναντίον τῶν τοῦ γ´ οἰκήματος καὶ οὕτω τελειοῦνται αἱ ὀρθώσεις τῶν $\overline{\iota\beta}$ οἰκημάτων καὶ εὑρίσκονται τὰ κέντρα πάντων.

---

2 καὶ αὖθις] ὁμοίως Vv ‖ 3 γ´ L ‖ 4 εὑρίσκεται] γίνεται Vv ‖ 8 τῶν δύο κανονίων] τῶν κανονίων τῶν $\overline{\beta}$ L ‖ 13 πέμπτου L ‖ 14 αἱ om. L | τῶν μοιρῶν] κατ' ἐναντίον Vv ‖ 15 αἱ[1] om. L | δευτέρου v | θ´ L | οἰκήματος[2] om. Vv

Τρυτάνη τοῦ ψήφου τούτου

Ἐὰν ὦσι οἱ ψῆφοι τοῦ ι΄ οἰκήματος καὶ τοῦ δ΄ ἐξισούμενοι κατὰ τὰς μοίρας καὶ τὰ λεπτά, ὁ ψῆφος ὀρθός ἐστιν. | καὶ αὖθις ἐὰν ὁ τόπος τῆς f115rL τύχης ὁ ἐκβληθεὶς πρότερον καὶ ἐν τῷ ι΄ οἰκήματι τεθείς, ἐὰν ἐξισοῦται τῷ ἐκβληθέντι, ἔπειτα ἀπὸ τῶν κανονίων τοῦ τόπου τῆς τύχης μετὰ τῆς εὐθείας γραμμῆς τόπῳ τῆς τύχης, ὁ ψῆφος ὀρθός. τὸ κέντρον δὲ τοῦ ι΄ οἰκήματός ἐστιν, ὅτε ἐστὶν εἰς τὸ ἴδιον οἴκημα, ποτὲ δὲ κλίνει πρὸς τὸ ια΄, ποτὲ δὲ πρὸς τὸ θ΄ οἴκημα. ὅτε οὖν κλίνει | πρὸς τὸ ια΄, λέγεται ὅτι νεύει πρὸς ἐκεῖνο. ὅτε f61vV δὲ κλίνει πρὸς τὸ ἕνατον, λέγεται ὅτι πέπτωκεν. ὅτε δὲ οὔτε πρὸς ἐκεῖνο οὔτε πρὸς τὸ ἕτερον κλίνει, λέγεται ὅτι ἱστᾶται.

Κεφάλαιον ε΄. Περὶ τῆς καταλήψεως τῶν σημείων τῆς ἀναβάσεως

Ἐπεὶ χρεία μεθόδου ταύτης, τηρεῖται ἡ τραχηλαῖα τῆς ἀναβάσεως εἰς τὴν τραχηλαῖαν τοῦ πλάτους τῆς πόλεως ἐκείνης. εἴ τι εὑρεθῇ, ἐκεῖνο μερίζεται εἰς τὴν τετελειωμένην τραχηλαῖαν τοῦ πλάτους τῆς πόλεως. εἴ τι εὑρεθῇ, τὸ σημεῖόν ἐστι τῆς μοίρας τῆς ἀναβάσεως. ἔπειτα τηρεῖται. ἐὰν

8 ἑνδέκατον V ‖ 9 τὸ ἕνατον] τὰ ἐννέα Vv, τὰ ἐννέα καὶ L 9–10 οὔτε — κλίνει] οὐ κλίνει πρὸς ἑκάτερον Vv ‖ 10 κλίνει + καὶ L ‖ 12 τῆς καταλήψεως om. Vv ‖ 13 ἐπεὶ χρεία μεθόδου ταύτης om. Vv

ἡ μετάκλισις τοῦ ἡλίου ἢ τὸ μῆκος τοῦ ἀστέρος νότια, ἡ τραχηλαῖα τοῦ πλάτους τῆς ἀνατολῆς ἑνοῦται μετὰ τοῦ σημείου τῆς μοίρας τῆς ἀναβάσεως. εἰ δὲ ἡ μετάκλισις ἐκείνου καὶ τὸ μῆκος βορεία, ἀπὸ τῶν δύο ψήφων τούτων τὸ ἔλαττον ἀφαιρεῖται ἀπὸ τοῦ πλείονος. εἴ τι εὑρεθῇ, ὄρθωσίς ἐστι τοῦ σημείου.

Διαίρεσις. Εἰς τὴν κατάληψιν τοῦ σημείου

| Ἡ ὄρθωσις τοῦ σημείου μερίζεται εἰς τὴν τραχηλαῖαν τὴν τετελειωμένην f115vL
τῆς ἀναβάσεως. εἴ τι εὑρεθῇ, παρ' ἕνα |βαθμὸν ἔλαττον κρατεῖται ὁ ψῆφος. f290rv
καὶ τὸ εὑρεθὲν ἡ τραχηλαῖά ἐστι τοῦ σημείου. εἴτε δὲ νότιόν ἐστιν ἢ βόρειον τοῦτο τὸ σημεῖον ἀπὸ τούτου καταλαμβάνεται. ὁ ἥλιος ἐὰν οὐκ ἔχῃ μετάκλισιν καὶ ὁ ἀστὴρ μῆκος, τὸ σημεῖον τῆς ἀναβάσεως εἰς τὸ νότιον μέρος. εἰ δὲ ἔχει ὁ ἥλιος μετάκλισιν καὶ ὁ ἀστὴρ μῆκος, καὶ εἰσι νότια καὶ τὸ σημεῖον τῆς ἀναβάσεως νότιον. εἰ δὲ ἡ μετάκλισις καὶ τὸ μῆκος βόρεια, τηρεῖται ἡ μοῖρα τοῦ σημείου. ἐὰν πλείων αὕτη τῆς τραχηλαίας τοῦ πλάτους τῆς ἀνατολῆς, τὸ σημεῖον ἐκεῖνο τῆς ἀναβάσεως νότιον. εἰ δ' ἐλάττων, |εἰς f62rV
τὸ βόρειόν ἐστι μέρος.

---

3 $\overline{\beta}$ τούτων ψήφων L ‖ 4 ἀπὸ om. L ‖ 6 τὴν κατάληψιν] τὸ γνώρισμα L ‖ 10 τὸ sup lin v ‖ 11 μετάκλισις L | τὸ σημεῖον sup lin v

Διαίρεσις. Εἰς τὴν κατάληψιν τῆς ἀναβάσεως ἐκείνης τῆς μὴ ἐχούσης σημεῖον

Ἐκείνη ἡ ἀνάβασις εἰς τὰς πόλεις ταύτας τὰς πρὸς τὸ ἀρκτῷον μέρος ἐστίν, ἔνθα ἡ μετάκλισις τοῦ ἡλίου ἢ τὸ μῆκος τοῦ ἀστέρος ἔλαττόν ἐστι τοῦ μήκους τῆς πόλεως ἐκείνης. χρείας δὲ γενομένης γενέσθαι ψῆφον γίνεται οὕτως. κρατεῖται ἡ τραχηλαῖα τῆς α΄ μετακλίσεως ἢ ἡ τραχηλαῖα τοῦ μήκους τοῦ ἀστέρος, καὶ μερίζεται εἰς τὴν τραχηλαῖαν τοῦ μήκους τῆς πόλεως. εἴ τι εὑρεθῇ, παρ' ἕνα βαθμὸν ἔλαττον κρατεῖται, καὶ τὸ εὑρεθὲν ἐκεῖνο τραχηλαῖά | ἐστι τῆς ἀναβάσεως ἐκείνης τῆς μὴ ἐχούσης σημεῖον. f116rL

Κεφάλαιον ς΄. Εἰς τὴν ἐκβολὴν τῆς γραμμῆς τοῦ μέσου τῆς ἡμέρας τῆς γῆς

Γίνεται ὄρθωσις τῆς ἐπιφανείας τῆς γῆς πρὸς τὸ ἀκριβὲς ὡς ὕδατος ἐν ταύτῃ ἐπιχυθέντος καλυφθῆναι τὴν ἐπιφάνειαν μὴ πρὸς ἕτερον μέρος προχωροῦντος τοῦ ὕδατος. εἶτα ἐν τῇ ὀρθωθείσῃ ταύτῃ ἐπιφανείᾳ τῆς γῆς περιγράφεται διὰ τοῦ διαμέτρου κύκλος ὅσον βούλεταί τις. καὶ εἰς τὸ κέντρον τοῦ κύκλου τίθεται κάθετος ἧς τὰ $\overline{\beta}$ ἄκρα, τὸ μὲν πρὸς τὸ κέντρον στερεὸν καὶ πάχος ἔχον, τὸ δὲ ἄνω λῆγον πρὸς ὀξύ.

Τὸ μῆκος οὖν τῆς καθέτου ἔλαττον ὀφείλει εἶναι τῆς διαμέτρου τοῦ κύκλου τούτου. ἐκ πρωίας οὖν ἀνισχόντος τοῦ ἡλίου, τηρεῖται τὸ σκίασμα τῆς

1 τὴν κατάλψιν] τὸ γνώρισμα L ‖ 4 δὲ om. Vv ‖ 5 πρώτης Vv ‖ 7 τὸ] ὃ V ‖ 14 δύο Vv ‖ 17 ἐκ πρωίας] πρωϊαίτερον Vv

καθέτου εἴτ' ἂν λήξῃ εἰς τὴν περιφέρειαν τοῦ κύκλου. ἡνίκα οὖν φθάσῃ τὸ σκίασμα εἰς τὸν κύκλον, | τίθεται σημεῖον ἐκεῖ. εἶτα τοῦ ἡλίου ἀπὸ τοῦ μέσου f62vV τῆς ἡμέρας κλίναντος, τηρεῖται ἡ κάθετος εἴτ' ἂν φθάσῃ τὸ σκίασμα ταύτης εἰς τὴν περιφέρειαν τοῦ κύκλου, καὶ τίθεται κἀκεῖ σημεῖον. ἀπ' ἐκείνων οὖν τῶν δύο σημείων τῶν τεθέντων εἰς τὸν κύκλον τὴν γραμμὴν γράφεται γραμμὴ κατ' εὐθεῖαν ἀπὸ τοῦ ἑνὸς σημείου μέχρι καὶ τοῦ ἄλλου. εἶτα ἡ γραμμὴ αὕτη τέμνεται ἐπὶ σημείου εἰς δύο, καὶ ἀπὸ τοῦ μέσου τῆς τοιαύτης γραμμῆς μέχρι τοῦ κέντρου | τοῦ κύκλου τέμνεται γραμμή. καὶ αὕτη ἐστὶν ἡ γραμμὴ τοῦ f116vL μέσου τῆς ἡμέρας, ἡ δὲ ἀπὸ τοῦ ἐκ | προτέρου σημείου τοῦ κύκλου εἰς 290vv τὸ ἕτερον σημεῖον γραμμὴ τῆς ἀνατολῆς καὶ τῆς δύσεως. ἔπειτα ἀπὸ τῆς διαμέτρου τοῦ κύκλου μερίζεται ὁ κύκλος εἰς $\overline{\delta}$. γράφεται οὖν ⟨εἰς⟩ ἕκαστον μέρος· εἰς τὸ ἓν ἀνατολή, εἰς δὲ τὸ ἕτερον δύσις, εἰς τὸ ἄλλο ἄρκτος, καὶ εἰς τὸ τέταρτον μεσημβρία. ἕκαστον οὖν τοῦ κύκλου τεταρτημόριον μερίζεται εἰς $\overline{\rho}$ μοίρας.

Κεφάλαιον ζ'. Εἰς τὸ γνώρισμα ἐκεῖνο ὅτι ἡ μιαρὰ προσευχὴ τῶν ἀσεβῶν Περσῶν ἀπὸ τῆς γραμμῆς τοῦ μέσου τῆς ἡμέρας πόσον παρῆλθε τηρεῖται

Τὸ μῆκος τῆς πόλεως καθ' ἣν οἰκοῦσιν οἱ ἀσεβεῖς ἐὰν ᾖ κατ' ἐναντίον τοῦ

7 ἐπὶ σημείου] ἐπὶ σης L ut videtur, ἐπιούσης et verba difficilia visu sup lin v ‖ 8 τέμνεται] σύρεται L ‖ 12 εἰς τὸ sup lin v ‖ 15 ἀσεβῶν om L

μήκους τοῦ Μακκᾶ – ὁ θεὸς ἵνα ἀναστατώσῃ καὶ ἀφανίσῃ τὸν τόπον ἐκεῖνον διὰ τὴν τῶν ἀσεβῶν κακοδαιμονίαν – τὸ σημεῖον τῆς μιαρᾶς εὐχῆς αὐτῶν μετὰ τῆς εὐθείας γραμμῆς ἤγουν τῆς διαμέτρου τοῦ κύκλου ὀρθόν ἐστιν. εἰ δ' ἐστὶ πλέον καὶ ἔλαττον, τηρεῖται ὁ ψῆφος τούτου οὕτως. τηρεῖται τὸ μῆκος τοῦ Μακκᾶ καὶ τὸ μῆκος ἧς βουλόμεθα πόλεως, καὶ τὸ ἔλαττον ἀφαιρεῖται ἀπὸ τοῦ πλείονος. εἴ τι καταλειφθῇ, ἡ τραχηλαῖα ἐκείνου | κρατεῖται, καὶ ἐκείνη f63rV
εἰς τὴν τραχηλαῖαν τὴν τετελειωμένην τοῦ πλάτους τοῦ Μακκᾶ τηρεῖται. εἴ τι εὑρεθῇ, παρ' ἕνα βαθμὸν | ἔλαττον κρατεῖται. καὶ ἐκεῖνο ἡ τραχηλαῖα τοῦ f117rL
μήκους τοῦ τελείου ἐστίν. ἐκεῖνο τηρεῖται. ἔπειτα ἡ τραχηλαῖα τοῦ πλάτους τοῦ Μακκᾶ εἰς τοῦτο μερίζεται. εἴ τι εὑρεθῇ, τραχηλαῖα τοῦ μήκους τοῦ τελείου ἐστίν. τὸ τόξον ἐκείνης κρατεῖται, καὶ ἐκεῖνο εἰς τὸ τετελειωμένον τῆς πόλεως τῆς ζητουμένης πλάτος ἐνοῦται. ἔπειτα εἴ τι εὑρεθῇ, ἐκεῖνο θεμέλιον λέγεται. ἡ τραχηλαῖα ἔπειτα ἐκείνη κρατεῖται, καὶ ἐκεῖνο εἰς τὴν τραχηλαῖαν τὴν τετελειωμένην τοῦ τελείου μήκους τηρεῖται. εἴ τι εὑρεθῇ, παρ' ἕνα βαθμὸν ἔλαττον κρατεῖται. εἴ τι εὑρεθῇ, ἐκεῖνο ἡ τραχηλαῖα τοῦ τετελειωμένου μήκους μέσον τῆς ζητουμένης πόλεως καὶ τοῦ θεομισούσης Μακκᾶ. τὸ τόξον ἐκείνης κρατεῖται καὶ ⟨ἀφαιρεῖται⟩ ἀπὸ τῶν $\overline{\rho}$. εἴ τι καταλειφθῇ, μῆκός ἐστι τῆς πόλεως ἐκείνης μέσον καὶ τοῦ Μακκᾶ.

---

1 ἀναστατώσῃ] ἐξεθεμελιώσῃ L ‖ 3 ἐστὶ] -στι sup lin v ‖ 4 τὸ μῆκος + τοῦ μῆκους L ‖ 5 τῆς πόλεως ἧς βουλόμεθα L | ἀπὸ om L ‖ 9 ἐστίν om. Vv 9–11 ἐκεῖνο . . . ἐστιν om L ‖ 12 πλάτος om L ‖ 15 ἡ om Vv ‖ 16 θεομισούσης om L

Ἔπειτα ἐκείνη ἡ τραχηλαῖα τοῦ τελείου μήκους παρ' ἕνα βαθμὸν πλέον κρατεῖται, ἤγουν ἄνω. καὶ ἐκεῖνο εἰς τὴν τραχηλαῖαν τοῦ μήκους τοῦ μέσου τῶν $\overline{\beta}$, τῆς πόλεως καὶ τοῦ Μακκᾶ, μερίζεται. εἴ τι εὑρεθῇ, ἐκεῖνο τραχηλαῖά ἐστι τοῦ τόπου τῆς ἐναγοῦς | προσευχῆς μετὰ τῆς ὀρθῆς γραφῆς. f291rv
πάλιν τηρεῖται. ἐὰν τὸ θεμέλιον ἐκεῖνο ἔλαττόν ἐστι τῶν $\overline{\rho}$, τὸ σημεῖον τῆς θεοστυγοῦς εὐχῆς ἀπὸ τοῦ μεροῦς τῆς μεσημβρίας ἐστὶ πρὸς τὸ μέρος τῆς γραμμῆς τῆς ἀπ' ἀνατολῆς διηκούσης πρὸς δύσιν. εἰ δὲ πλέον τῶν $\overline{\rho}$, τὸ σημεῖον τῆς εὐχῆς τῶν ἀσεβῶν πρὸς τὸ βόρειόν ἐστι μέρος. εἰ δὲ ὁ ψῆφος εἰς αὐτὰ τὰ $\overline{\rho}$ | γένηται, εἰς τὸ σημεῖον τῆς εὐθείας γραμμῆς τῆς ἀπ' ἀνατολῶν f117vL
πρὸς δύσιν διηκούσης ὁ τόπος τῆς μιαρᾶς εὐχῆς τῶν ἀσεβῶν. καὶ μετὰ τούτου τοῦ ψήφου ἐξεβλήθη τὸ σημεῖον τῆς τῶν ἀσεβῶν ἐναγεστάτης εὐχῆς καθ' | ἑκάστην πόλιν, καὶ ἐτέθη εἰς τὸ κανόνιον τοῦτο. οὗτος δὲ ὁ ψῆφος f63vV
τοῦ κανονίου οὕτως ἐτέθη ἀπὸ τῆς εὐθείας γραμμῆς τῆς ἀπὸ τῆς δύσεως ἀρχομένης, οὐκ ἀπὸ τῆς γραμμῆς τοῦ μέσου τῆς ἡμέρας.

---

3 δύο Vv ‖ 4 προσευχῆς] πρὸς τὸν Σατανὰν τὸν καὶ παρ' αὐτῶν εὐχῆς Vv ‖ 5 ἐστι om. Vv 5–6 τῆς μιαρᾶς προσευχῆς L ‖ 8 τῆς μιαρᾶς προσευχῆς L ‖ 10 προσευχῆς L | μιαρᾶς om. L ‖ 11 ἐξεβλήθη iter. L | μιαρᾶς προσευχῆς L

pÒleij	de‹xij toà shme…ou		meshmbr…a dÚsij mšroj eÙchj	pÒleij	de‹xij toà shme…ou		meshmbr…a dÚsij mšroj eÙchj	pÒleij	de‹xij toà shme…ou		meshmbr…a dÚsij mšroj eÙchj
	mÁkoj	pl£toj			mÁkoj	pl£toj			mÁkoj	pl£toj	
babulèn	o$	m		ntapere$£n	ne	ƀ		mp£lc	q	k	
mousoÚl	pb	k		ntzil£n	nz	ƀ		catl£n	kz	l	
camat£n	xd	l		ntzourtz£n	mh	m		taure$£n	k$	ƀ	
· a…	na	ne		kirm£n	mg	l		gÒr	kq	ƀ	
ntamag£n	n	l		suntzi$£n	ih	k		cor£smin	n	ƀ	
„pac£n	mh	ƀ		· aou£	iq	k		mpoucer£	m	m	
pers…j	me	ƀ		mpoÚtz	ka	l		samerk£nt	lq	ƀ	
¢oul£z	mq	l		nisaboÚr	mg	n		sir£n	mh	a	
¢nterpaz£n	o	ƀ		m£rro	lh	k		tr£j	mg	a	
¢rmen…a	p	ƀ		cerrš	kq	ƀ		cot£n	l$	l	

| Μοῖρα ἑβδόμη. Περὶ τῆς ἐκβολῆς τῶν μέσων κινήσεων τῶν ἑπτὰ ἀστέρων f118rL

Ὁ Ἀβδουραχμὰν ὁ Χαζανὴς οὕτω φησίν· τέχνην ἐργασώμεθα περὶ τῶν μέσων κινήσεων τῶν ἀστέρων κατὰ τρεῖς μεθόδους. μία ἐκείνη - περὶ τοῦ μήκους τῶν $\overline{\rho}$ ἀπὸ τῆς ἄκρας δυτικῆς θαλάττης εἰς τὴν μέσην κίνησιν τῆς συντάξεως ταύτης. δευτέρα ἐκείνη - τὸ μῆκος ἑκάστης πόλεως | μετὰ τῆς 291vv ὀρθώσεως τῶν $\overline{\beta}$ μηκῶν τῆς συντάξεως καὶ τῆς πόλεως ἐκείνης. ἐκείνη μέση κίνησις | τῆς πόλεως λέγεται, καὶ οἱ ψῆφοι τῶν αὐθημερινῶν ἀπὸ τῆς μέσης f64rV ταύτης κινήσεως γίνονται. καὶ ἡ τρίτη ὅτι ἡ μέση κίνησις μετὰ τῆς ὀρθώσεως τῆς ἡμέρας ὀρθοῦνται χάριν τῶν γενεθλιαλογικῶν καὶ τῆς εἰσελεύσεως.

Καὶ ἡ μοῖρα αὕτη περὶ τῆς ἐκβολῆς τῶν μέσων κινήσεων τῶν ἀστέρων καὶ τῶν ὑψωμάτων καὶ τῶν ὀρθώσεων ἑκάστου καὶ τῆς εἰσελεύσεως τῶν σουλτανικῶν χρόνων ἀπὸ τῶν ἡμερῶν τῆς ἑβδομάδος μετὰ τῶν ἐτῶν εἰς τὴν ἔναρξιν καὶ τελείωσιν τούτων καὶ τοῦ γνωρίσματος τοῦ θεμελίου τοῦ αὐθημερινοῦ δι᾽ ἕνα χρόνον τοῦ ἡλίου. αὕτη δὲ ἡ μοῖρα εἰς $\overline{\delta}$ διαιρεῖται κεφάλαια.

Κεφάλαιον α΄. Περὶ τῆς ἐκβολῆς τῶν μέσων κινήσεων τῶν ἀστέρων εἰς τὸ μῆκος τῶν $\overline{\rho}$

Ἐπεὶ χρεία τῆς μεθόδου ταύτης, πρὸ ταύτης τὸ ἔτος τῶν Ἀράβων | f118vL

1 ζ L ‖ 2 ἀβδουραχμὰν in marg. L ‖ 5 ἐκείνη + ἐστὶ L ‖ 6 δύο v ‖ 8 γ΄ c

ὀρθοῦται μετὰ τοῦ μέσου ψήφου εἰς τὴν ἡμέραν ἣν βουλόμεθα ἀπὸ τῶν ἡμερῶν τῆς ἑβδομάδος καθὼς ἐρρέθη περὶ τούτου πρότερον. ἔπειτα τίθενται εἰς τὴν ταῦλαν εἰς ἓν μέρος οἱ ἀτελεῖς χρόνοι τῶν Ἀράβων, καὶ ὑπὸ τούτου τίθεται ὁ μὴν ὃν βουλόμεθα, καὶ ὑπὸ τὸν μῆνα ἡ ποσότης τῶν ἡμερῶν τοῦ μηνὸς ἐκείνου. ἔπειτα ζητεῖται ψῆφος ὅμοιος ἐκείνοις τοῖς προκαταλημμένοις χρόνοις εἰς τὰς τριακονταετηρίδας τῶν Ἀράβων εἰς τὸ κανόνιον. ἔνθα οὖν εὑρεθῶσιν ὅμοιοι τούτοις χρόνοι, ἐκεῖθεν γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον. εἰ δὲ οὐχ εὑρεθῶσιν ἐν τῷ κανονίῳ χρόνοι ἐξισούμενοι τούτοις κατὰ τὸν ψῆφον, ζητεῖται ψῆφος ἐλάττων ἐκείνου καὶ ἐγγύτερον, καὶ κατ' ἐναντίον ἐκείνου εἰσέλευσις εἰς τὸ κανόνιον καὶ κρατεῖται. εἴ τι εὑρεθῇ, κατ' ἐναντίον ἐκείνου ἀπὸ τοῦ κανονίου τοῦ ζητουμένου ἀστέρος ζῴδια, μοῖραι, λεπτά, καὶ δεύτερα λεπτὰ ἐὰν ὦσιν, καὶ τίθεται εἰς τὴν ταῦλαν μετὰ | τῆς τάξεως ταύτης· f64vV πρῶτον ζῴδια, ἔπειτα μοῖραι, εἶτα λεπτά, καὶ μετὰ ταῦτα λεπτὰ δεύτερα.

Εἶτα εἴ τι εὑρεθῇ ἀπὸ τῶν ἡμερῶν τῶν ὄπισθεν καὶ ἐκ πλαγίου τούτων, τίθεται ἰδίᾳ εἰς ἓν μέρος τῆς ταύλας. εἶτα οἱ ἐν τῷ κανονίῳ χρόνοι ἀφ' ὧν ἐγένετο εἰσέλευσις εἰς τοῦτο | ἀφαιροῦνται ἀπὸ τῶν κρατουμένων πρότερον f119rL καὶ τεθέντων εἰς τὴν ταῦλαν. εἴ τι οὖν καταλειφθῇ, ζητεῖται ἐκεῖνο εἰς τὸ κανόνιον τῶν ἁπλῶν ἐτῶν τῶν Ἀράβων. ἔνθα εὑρεθῇ ὁ ψῆφος ἐκεῖνος, κατ' ἐναντίον ἐκείνου γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον ἐκείνου τοῦ ἀστέρος,

3 τούτους L ‖ 8–10 εἰ δὲ . . . εἰς τὸ κανόνιον om. Vv ‖ 15 τίθενται v

καὶ κρατοῦνται ζῴδια, μοῖραι καὶ λεπτά, καὶ τίθενται εἰς τὴν ταῦλαν ὑπὸ τὴν κρατηθεῖσαν πρότερον μέσην κίνησιν τῶν | τριακονταετηρίδων τὰ ζῴδια ὑπὸ f292rv τὰ ζῴδια καὶ καθεξῆς ὁμοίως κρατοῦνται καὶ αἱ εὑρεθεῖσαι ὄπισθεν ἡμέραι τῆς ἑβδομάδος, καὶ ἑνοῦνται ταῖς εὑρεθείσαις πρότερον ἡμέραις ἀπὸ τῶν τριακονταετηρίδων.

Εἶτα γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον τῶν μηνῶν κατ' ἐναντίον τοῦ κρατηθέντος παρ' ἡμῶν μηνός, καὶ κρατεῖται καὶ οὗτος ὁ ψῆφος τῆς μέσης κινήσεως τοῦ ἀστέρος ἐκείνου ὡς ἐρρέθη, καὶ τίθεται ὑπὸ τὸν ψῆφον τῶν ἁπλῶν ἐτῶν – τὰ ζῴδια ὑπὸ τὰ ζῴδια καὶ καθεξῆς ὁμοίως ὡς καὶ ἐπὶ τοῖς ἄλλοις. ἔπειτα κρατοῦνται αἱ ὄπισθεν ἡμέραι, καὶ αὗται ἑνοῦνται ταῖς ἀπὸ τῶν χρόνων καὶ μηνῶν κρατηθείσαις ἡμέραις. εἶτα ζητοῦνται αἱ κρατηθεῖσαι ἡμέραι τοῦ μηνὸς εἰς τὸ κανόνιον τῶν ἡμερῶν. ἔνθα εὑρεθῶσιν, κατ' ἐναντίον ἐκείνων γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον τῶν ἡμερῶν | τοῦ ἀστέρος ἐκείνου. f65rV εἴ τι οὖν εὑρεθῇ, | τίθεται ὑπὸ τὸν ψῆφον τῶν μηνῶν — τὰ ζῴδια ὑπὸ τὰ ζῴδια f119vL καὶ ἐφεξῆς ὁμοίως καὶ ἐπὶ τοῖς ἄλλοις.

Ἔπειτα κρατοῦνται αἱ ὄπισθεν ἡμέραι, καὶ αὗται [καὶ] ἑνοῦνται ταῖς ἀπὸ τῶν χρόνων καὶ μηνῶν κρατηθείσαις ἡμέραις. ἐὰν οὖν πλέον τῶν $\overline{\zeta}$ γένηται ὁ ψῆφος, ἀνὰ $\overline{\zeta}$ γίνεται τούτου ἀφαίρεσις. εἴ τι ἔπειτα καταλειφθῇ, ἐὰν ἐξισοῦνται ταῖς πρότερον κρατηθείσαις ἡμέραις τοῦ μηνός, ὁ ψῆφος ὀρθός. εἰ

2 $\overline{\lambda}$ετηρίδων L ‖ 4–5 $\overline{\lambda}$ετηρίδων L ‖ 9–10 ὁμοίως . . . αὗται] εἴ τι εὑρεθῇ ὄπισθεν ἀπὸ τῶν ἡμερῶν τῆς ἑβδομάδος κρατεῖται καὶ L ‖ 11 καὶ μηνῶν om L

δ' οὐκ ἐξισοῦνται, πάλιν ἐξ ἀρχῆς ἀπὸ τῶν ἐτῶν γίνεται ὁ ψῆφος. γενομένου δὲ τοῦ ψήφου ὀρθοῦ, ἑνοῦνται οἱ ψῆφοι πάντες τῶν μέσων κινήσεων. ἐὰν οὖν εἰς τὰ δεύτερα λεπτὰ ὑπερβῇ ὁ ψῆφος τὰ $\overline{\xi}$, τὰ $\overline{\xi}$ ἀφαιροῦνται ἐξ ἐκείνων, καὶ $\overline{\alpha}$ προστίθεται εἰς τὰ α΄ λεπτά. καὶ αὖθις ἐὰν ὁ ψῆφος τῶν α΄ λεπτῶν ὑπὲρ τὰ $\overline{\xi}$ γένηται, τὰ $\overline{\xi}$ ἀφαιροῦνται ἀπὸ τῶν τοιούτων λεπτῶν, καὶ $\overline{\alpha}$ προστίθεται εἰς τὰς μοίρας. εἰ δὲ ὁ ψῆφος τῶν μοιρῶν τὰ $\overline{\lambda}$ ὑπερβῇ, τὰ $\overline{\lambda}$ ἀπὸ τῶν συναχθεισῶν μοιρῶν ἀφαιροῦνται, καὶ $\overline{\alpha}$ προστίθεται εἰς τὰ ζῴδια. εἰ δὲ πάλιν ὁ ψῆφος τῶν ζῳδίων τὸν $\overline{\iota\beta}$ ὑπερβῇ ἀριθμόν, τὰ $\overline{\iota\beta}$ καταλιμπάνονται, καὶ τὸ ἓν ἀπολειφθὲν κρατεῖται. εἴ τι οὖν εὑρεθῇ, ἀπὸ ζῳδίων, μοιρῶν, καὶ λεπτῶν ἡ μέση κίνησίς ἐστι τοῦ ἀστέρος ἐκείνου εἰς τὴν μέσην κίνησιν τῆς συντάξεως εἰς ἐκεῖνο τὸ μέσον τῆς ἡμέρας εἰς τὸ μῆκος τῶν $\overline{\rho}$. εἰ δ' ἐστὶ μεθ' ἡμῶν τεμμάχιον τῆς ὥρας, κατ' ἐναντίον | τῆς ὥρας ταύτης γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον τῶν f120rL
ὑπὸ τοὺς μῆνας ὡρῶν. καὶ ἡ κίνησις τοῦ ἀστέρος ἐκείνου κρατεῖται, | καὶ f65vV
ἑνοῦται τῇ μέσῃ κινήσει τῇ πρότερον κρατηθείσῃ.

Διαίρεσις. Περὶ τῆς ὀρθώσεως τοῦ ὑψώματος

| Κρατηθείσης τῆς μέσης κινήσεως κατ' ἐναντίον τοῦ ἔτους ἐκείνου ἀπὸ 292vv
τῶν χρόνων, τῶν μηνῶν, καὶ τῶν ἡμερῶν γίνεται εἰσέλευσις, καὶ κρατεῖται ἡ

4 πρῶτα Vv | πρώτων Vv ‖ 5 ἀπὸ τῶν τοιούτων λεπτῶν] ἐξ ἐκείνων τῶν πρώτων λεπτῶν Vv ‖ 7–8 εἰ δὲ πάλιν . . . ὑπερβῇ] ἐὰν τὸν ιή ὑπερβῶσιν L ‖ 8 δωδέκατον v | δώδεκα v ‖ 16 ἐκείνου] ἐκείνων v

κίνησις τοῦ ὑψώματος ἀπὸ ζῳδίων, μοιρῶν, καὶ λεπτῶν α΄ καὶ β΄. ἔπειτα τὸ ὑπὸ τοὺς μῆνας ὕψωμα τοῦ ἀστέρος ἐκείνου τὸ κατὰ τὴν ἀρχὴν τοῦ χρόνου τῶν Ἀράβων εὑρεθὲν ἑνοῦται τῇ τοιαύτῃ κινήσει τοῦ ὑψώματος. εἴ τι οὖν εὑρεθῇ, ὕψωμά ἐστι τῆς ὀρθώσεως.

Κεφάλαιον β΄. Περὶ τῆς ὀρθώσεως τῶν μέσων κινήσεων τῶν ἀστέρων

Τοῦτο κατὰ $\overline{\beta}$ γίνεται τρόπους. εἷς ἐκεῖνος, ὅτι ἀπὸ τῆς περισσείας τῶν $\overline{\beta}$ μηκῶν ὁ ψῆφος τῆς μέσης κινήσεως τῆς συντάξεως εἰς τὸ μῆκος τῆς ἑτέρας πόλεως διαβιβάζεται. δεύτερος ἐκεῖνος· αὕτη ἡ μέση κίνησις ἡ μετὰ τοῦ μήκους τῆς πόλεως ὀρθωθεῖσα μετὰ τῆς ὀρθώσεως τῆς ἡμέρας γίνεται τελεία. ὁ ἀπὸ τῶν $\overline{\beta}$ πρῶτος ψῆφος κρατεῖται – ἡ περισσεία ἡ μέση τῶν $\overline{\beta}$ τῆς πόλεως ἧς βουλόμεθα καὶ τοῦ μήκους τῶν $\overline{\rho}$. εἴ τι οὖν εὑρεθῇ, ἐκεῖνο μερίζεται εἰς τὰ $\overline{\iota\epsilon}$ | ἢ τηρεῖται εἰς τὰ $\overline{\delta}$ λεπτά. εἴ τι εὑρεθῇ, ὥρα ἐστὶν ἐκεῖνο ἢ τεμμάχιον f120vL
τῆς ὥρας. εἶτα κατ' ἐναντίον τῶν ὡρῶν τούτων γίνεται εἰσέλευσις εἰς τὸ ὑπὸ τοὺς μῆνας κανόνιον τῶν ὡρῶν, καὶ κρατεῖται ἡ μέση κίνησις τοῦ ἀστέρος ἐκείνου, καὶ τηρεῖται. ἔπειτα τηρεῖται εἰς τὸ μῆκος τῆς πόλεως ἐκείνης. εἴπερ ἔλαττόν ἐστι τοῦτο τῶν $\overline{\rho}$, ἐκείνη ἡ μέση κίνησις ἡ ἀπὸ τῶν ὡρῶν κρατηθεῖσα ἑνοῦται τῇ ἀπὸ τῆς συντάξεως μέσῃ κινήσει. εἰ δὲ πλέον τῶν $\overline{\rho}$, ἀφαιρεῖται

1 πρώτων Vv | δευτέρων Vv ‖ 5 δ v ‖ 6 $\overline{\beta}^1$] δύο v ‖ 10 $\overline{\beta}^1$] δύο V | $\overline{\beta}^2$] δύο V ‖ 16 ἐστι post ἔλαττόν L | ἡ μέση om Vv

ἐξ ἐκείνου, καὶ εὑρίσκεται ἡ μέση κίνησις τῆς πόλεως ἐκείνης – περισσεία |εἰς τὴν ὄρθωσιν τῆς μέσης κινήσεως τῆς πόλεως ἐκείνης μετὰ τῆς ὀρθώσεως f66rV τῆς ἡμέρας. κατ' ἐναντίον τῆς μέσης κινήσεως τοῦ ἡλίου γίνεται εἰσέλευσις εἰς τὰ κανόνια τῆς ὀρθώσεως τῶν ἡμερῶν, καὶ κρατεῖται τὸ τεμμάχιον τῆς ὥρας. ἔπειτα κατ' ἐναντίον τοῦ τεμμαχίου τούτου γίνεται εἰσέλευσις εἰς τὰ ὑπὸ τοὺς μῆνας κανόνια τῶν ὡρῶν, καὶ ἡ μέση κίνησις τοῦ ἀστέρος ἐκείνου κρατεῖται. εἴ τι εὑρεθῇ, ἀφαιρεῖται ἀεὶ ἀπὸ τῆς μέσης κινήσεως τῆς πόλεως ἐκείνης, καὶ εὑρίσκεται ἡ τελεία ὄρθωσις τῆς μέσης κινήσεως τῆς πόλεως ἐκείνης.

Διαίρεσις. Ἐὰν ἡ μέθοδος αὕτη τῶν αὐθημερινῶν διὰ τὰ γενεθλιαλογικὰ γένηται, τηρεῖται τὸ μῆκος τῆς πόλεως. ἐὰν ᾖ ἔλαττον τῶν $\overline{\rho}$, ἐκείνη ἡ ὥρα |ἡ f121rL ἐξελθοῦσα ἀπὸ τῶν $\overline{\beta}$ μηνῶν ἑνοῦται τῷ ἔτει ἐκείνῳ εἰς ὃ ἐγένετο ἡ γέννησις. εἰ δ' ἐστὶ πλέον τῶν $\overline{\rho}$ |τὸ μῆκος τῆς πόλεως, ἐκείνη ἡ ὥρα ἀφαιρεῖται ἀπὸ τοῦ f293rv ἔτους ἐκείνου. ἔπειτα τὸ τεμμάχιον τῆς ὀρθώσεως τῶν ἡμερῶν ἀεὶ ἀφαιρεῖται ἀπὸ τοῦ ἔτους, καὶ ὀρθοῦται τὸ ἔτος ὄρθωσιν τελείαν. εἶτα κατ' ἐναντίον τοῦ ἔτους τούτου γίνεται εἰσέλευσις εἰς τὰ κανόνια τῶν μέσων κινήσεων τῶν ἀστέρων, καὶ κρατοῦνται οἱ ψῆφοι τούτων ἀπὸ τῆς συντάξεως. αἱ μέσαι οὖν

---

10 αὕτη + τῆς τέχνης L ‖ 11 ἡ sup lin v ‖ 12 δύο Vv ‖ 13 ante τοῦ μῆκος v add et cancell ἀφαιρεῖται ἐξ ἐκείνου ‖ 14 ἔπειτα] εἶτα Vv

αὗται κινήσεις ὀρθαί εἰσι κατὰ τὸν καιρὸν ἐκεῖνον.

Κεφάλαιον γ΄ . Περὶ τῆς εἰσελεύσεως τῶν γνωρίμων χρόνων τῶν Σουλτανικῶν καπισά

Ἴσθι ὡς εἷς χρόνος τοῦ ἡλίου ἐστὶ τόσον· τξε ιδ κζ κ λς μζ . ὁ χρόνος τῶν Ῥωμαίων τόσος καὶ τόσα τεμμάχιά εἰσιν εἰς ἐκεῖνον· περισσσεία ἀπὸ τοῦ χρόνου τοῦ ἡλίου ϛ ϛ λβ λθ κγ ιγ . τὰ τεμμάχια ταῦτα εἰς τοὺς ρι χρόνους μία ἡμέρα γίνεται τετελειωμένη. ὁ χρόνος τῶν Περσῶν ἐλάττων ἐστὶ τοῦ χρόνου τοῦ ἡλίου τόσον· ϛ ιδ κζ κ λς μζ . ὁ χρόνος τῆς σελήνης | τόσος· τνδ κβ α λς να . ὁ χρόνος τοῦ ἡλίου ἀπὸ τοῦ χρόνου τῆς σελήνης f66vV πλείων τόσον· ι νβ κε μγ με νε . ἡ περιφορὰ τῆς ἑβδομάδος περισσὴ γίνεται ἡμέραν μίαν εἰς τὸν | χρόνον τοῦ ἡλίου εἰς τεμμάχια τόσα ὅτι ὁ χρόνος τῶν f121vL Περσῶν ἐλάττων τοῦ χρόνου τοῦ ἡλίου. εἰς τοῦτο ἐτέθη κανόνιον διὰ τὸ ἔτος τὸ Σουλτανικὸν ἐν ᾧ ἐτέθησαν οἱ χρόνοι ἀνὰ κ τοῦ ἡλίου.

Διαίρεσις. Εἰς τὸ γνώρισμα ἐκεῖνο ὅτι οἱ χρόνοι οἱ αἰσθητοὶ ἤγουν οἱ γνώριμοι οἱ σουλτανικοὶ κατὰ ποίαν ἡμέραν εἰσέρχονται ἀπὸ τῶν τριῶν τούτων ἐτῶν καὶ τῶν ἡμερῶν τῆς ἑβδομάδος

1 αὗται om Vv ‖ 2 Περὶ] εἰς τὸ γνώρισμα L ‖ 6 ϛ ϛ δβλθκγιγ v

Γίνεται εἰσέλευσις κατ' ἐναντίον τῶν τετελειωμένων σουλτανικῶν χρόνων εἰς τὸ κανόνιον τῶν εἰκοσαετηρίδων καὶ τῶν ἁπλῶν ἐτῶν. εἴ τι οὖν εὑρεθῇ, κατ' ἐναντίον τῶν $\overline{\beta}$ κανονίων, κρατεῖται ἀπὸ τῶν χρόνων τῶν $\overline{\gamma}$ ἐκείνων ἐτῶν. ὡσαύτως καὶ αἱ ἡμέραι ἐκ πλαγίου τῶν χρόνων καὶ τὰ α΄ καὶ δεύτερα λεπτά. εἶτα τηροῦνται καὶ αἱ ἡμέραι τῆς ἑβδομάδος αἱ κατὰ τὸ τέλος τῶν κανονίων καὶ τὰ τούτων α΄ καὶ β΄ λεπτά, καὶ ὡς ἔστιν ἡ τάξις τηροῦνται. ἐὰν οὖν ὁ ψῆφος τῶν β΄ λεπτῶν πλείων τῶν $\overline{\xi}$, τὰ $\overline{\xi}$ ἀφαιροῦνται ἐξ ἐκείνων, καὶ $\overline{\alpha}$ προστίθεται εἰς τὰ α΄ λεπτά. εἰ δὲ ταῦτ' αὖθις πλείονα τῶν $\overline{\xi}$, ἀπὸ τούτων ἀφαιροῦνται τὰ $\overline{\xi}$, καὶ $\overline{\alpha}$ προστίθεται ταῖς ἡμέραις. εἰ δὲ αἱ ἡμέραι αὗται πλείονες τῶν ἡμερῶν τοῦ χρόνου, αἱ ἡμέραι τοῦ χρόνου καταλιμπάνονται, καὶ $\overline{\alpha}$ προστίθεται τοῖς χρόνοις. ἔπειτα τηρεῖται εἰς τὰ λεπτὰ τῶν ἡμερῶν τῆς |ἑβδομάδος| τὰ κρατηθέντα. ἐὰν ὦσιν ἔλαττον τῶν $\overline{\iota\epsilon}$, ἡ ἀρχὴ τοῦ χρόνου ἀπὸ f122rL, f67rV
τῶν |κρατηθέντων ἡμερῶν ἐστι τῆς ἑβδομάδος. εἰ δὲ πλέον τῶν $\overline{\iota\epsilon}$, ἡ ἀρχὴ f293vv
τοῦ χρόνου ἀπὸ τῆς ἄλλης ἡμέρας· μία ἡμέρα προστίθεται ταῖς εὑρεθείσαις ἡμέραις καὶ εἰς [καθ'] ἕκαστον ἔτος ἀπὸ τῶν $\overline{\gamma}$ μία ἡμέρα προστίθεται.

Διαίρεσις. Περὶ τοῦ γνῶναι ὅτι οὗτος ὁ εἰσερχόμενος χρόνος πασιτά ἐστιν ἢ καπισά

3 τριῶν Vv ‖ 4 πρῶτα Vv ‖ 5 τηροῦνται] κρατεῖται L ‖ 6 πρῶτα Vv | δεύτερα Vv ‖ 7 δευτέρων v ‖ 8 πρῶτα Vv ‖ 15 τριῶν Vv ‖ 16 Περὶ τοῦ γνῶναι] εἰς τὸ γνώρισμα ἐκεῖνο L ‖ 17 καπισὰ + ἤτοι βίσεξτος Vv

Τηρεῖται εἰς τὰ λεπτὰ τῶν ἡμερῶν τῆς ἑβδομάδος τὰ κρατηθέντα. ἐὰν ὦσιν ἔλαττον τῶν τόσων· ϟ $\overline{\mu\epsilon}$ $\overline{\lambda\epsilon}$, οὗτος ὁ εἰσερχόμενος χρόνος πασιτά ἐστιν, καὶ ἡμέραι τοῦ χρόνου ἐκείνου τόσαι· $\overline{\tau\xi\epsilon}$. εἰ δὲ ἐκεῖνα τὰ λεπτὰ πλείονά εἰσι τῶν ϟ $\overline{\mu\epsilon}$ $\overline{\lambda\epsilon}$, οὗτος ὁ εἰσερχόμενος χρόνος καπισά ἐστι. ἡμέραι τούτου τόσαι· $\overline{\tau\xi\varsigma}$. οὗτος ὁ ψῆφος εἰς τὸ μῆκος τῶν $\overline{\rho}$, οὐχὶ εἰς τὸ μῆκος τῶν ἑτέρων πόλεων.

Κεφάλαιον δ΄. Περὶ τοῦ θεμελίου τοῦ αὐθημερινοῦ τοῦ ἡλίου εἰς ἕνα χρόνον τοῦ ἡλίου

Κανόνιον ἐποιήθη διὰ τὴν κίνησιν τῶν ἀστέρων εἰς τὸν ἕνα χρόνον τοῦ ἡλίου καὶ εἰς τοὺς μῆνας τοῦ χρόνου ἐκείνου. καὶ οὗτοι οἱ μῆνες εἰς ἐκεῖνο ἐτέθησαν ὅτι εἰς τὴν ἀρχὴν ἑκάστου μηνὸς ὁ ἥλιος εἰς τὴν ἀρχὴν γίνεται τοῦ ζῳδίου. ἔπειτα αφ' οὗ ἐξέλθῃ ἡ ἀρχὴ τοῦ χρόνου τοῦ ἡλίου κατὰ ποίαν ἡμέραν |ἐστὶ καὶ ποῖον μῆνα καὶ ποῖον χρόνον ἀπὸ τοῦ ἔτους τῶν Ἀράβων, ἐξ ἐκείνου f122vL τοῦ χρόνου καὶ τοῦ μηνὸς καὶ τῆς ἡμέρας γίνεται εἰσέλευσις, καὶ αἱ μέσαι κινήσεις τῶν ἀστέρων κρατοῦνται καὶ τὰ ὑψώματα τούτων ἐκβάλλονται. |καὶ f67vV αἱ ἴδιαι κινήσεις καὶ ἐκεῖναι αἱ μέσαι κινήσεις μετὰ τῆς περισσείας τῶν $\overline{\beta}$ μηκῶν ὀρθοῦνται ὡς ἐρρέθη. καὶ τὸ ὕψωμα ἑκάστου ἀστέρος ἀπὸ τῆς μέσης

4 τούτου om Vv ‖ 7 Περὶ] εἰς τὴν κατάληψιν τῆς ποιήσεως L ‖ 9 $\overline{\alpha}$ L ‖ 15 κρατοῦνται τῶν ἀστέρων Vv ‖ 16 δύο Vv ‖ 17 ὀρθοῦται Vv

κινήσεως τούτου ἀφαιρεῖται. εἴ τι καταλειφθῇ, τοῦτο κέντρον καλεῖται. ταῦτα οὖν πάντα τὰ ἐκβληθέντα ἓν ὄνομα ἔχουσιν – θεμέλιον τῆς ἀρχῆς τοῦ χρόνου. ταῦτα οὖν πάντα τίθενται εἰς τὴν ἀρχὴν τοῦ Φαρβαρδὶν μηνὸς κατὰ τὸ ἔτος τὸ Σουλτανικόν – ἕκαστον εἰς τὸν ἴδιον τόπον καθώσπερ ἦν ἡ τάξις τούτου – καὶ εἰς τὸ κανόνιον ὅπερ ἐγένετο δι᾽ ἐκεῖνο.

Χρὴ οὖν εἰπεῖν καὶ περὶ τῶν κανονίων πόσων ἐστι χρεία. διὰ τὰ ἔτη $\overline{\varepsilon}$ κανόνια ἐτέθησαν καὶ διὰ τὰς ἡμέρας τῆς ἑβδομάδος, καὶ $\overline{\beta}$ κανόνια διὰ τὸ κέντρον καὶ τὸ αὐθημερινὸν τοῦ ἡλίου, κανόνια $\overline{\varepsilon}$ διὰ τὴν σελήνην καὶ τὴν μέσην κίνησιν ἐκείνης καὶ τὴν ἰδίαν κίνησιν καὶ τὸ κέντρον καὶ τὸ αὐθμερινὸν τοῦ καταβιβάζοντος. καὶ ἕκαστος τῶν $\overline{\varepsilon}$ ἀστέρων $\overline{\gamma}$ κανόνια ἔχει· $\overline{\alpha}$ διὰ τὸ κέντρον, $\overline{\alpha}$ διὰ τὴν ἰδίαν κίνησιν, καὶ $\overline{\alpha}$ διὰ τὸ αὐθημερινὸν. καὶ ἕτερα

| κανόνια ἐτέθησαν· ἓν διὰ |τὴν μετάκλισιν τοῦ ἡλίου, ἓν διὰ τὸ πλάτος τῆς f294rv, f123rL
σελήνης, καὶ $\overline{\varepsilon}$ διὰ τὰ πλάτη τῶν ἀστέρων. καὶ ἕτερα $\overline{\beta}$ ἐτέθησαν διὰ τὰς ὥρας τῆς ἀναβάσεως.

Ἐπεὶ γοῦν ἐτέθησαν τὰ κανόνια πάντα τετελειωμένα, ἐκεῖνο τὸ θεμέλιον, ἡ μέση κίνησις καὶ ἡ ἰδία καὶ τὰ ἕτερα, εἰς τὴν ἀρχὴν τοῦ Φαρβαρδὶν μηνὸς γράφεται. ἔπειτα γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον τῆς κινήσεως τῶν $\overline{\zeta}$ ἀστέρων καὶ τοῦ καταβιβάζοντος εἰς τοὺς μῆνας τοῦ Σουλτανικοῦ ἕνεκα τοῦ χρόνου τοῦ ἡλίου. καὶ κατ᾽ ἐναντίον ἑκάστου μηνὸς ἡ κίνησις τῶν ἀστέρων

3 οὖν om Vv ‖ 6 χρὴ] χρεῶν Vv ‖ 9 κίνησιν om Vv | τὸ αὐθημερινὸν + καὶ τὸ αὐθημερινὸν L ‖ 10 τριῶν L | ἔχει κανόνια Vv ‖ 12 $\overline{\alpha}$ Vv | $\overline{\alpha}$ Vv ‖ 13 τὰ πλάτη] τὸ πλάτος L

κρατεῖται. εἴ τι οὖν εὑρεθῇ ἀπὸ | τῆς κινήσεως τῶν ἀστέρων, ἑνοῦται ἀεὶ f68rV
τῷ θεμελίῳ ἐκείνῳ τῶν ἀστέρων, ἕκαστον ἑκάστῳ – ἡ κίνησις τοῦ ἡλίου τῷ θεμελίῳ τοῦ αὐθημερινοῦ τοῦ ἡλίου καὶ καθεξῆς. καὶ εἰς τὴν ἀρχὴν ἑκάστου φύλλου τίθεται ἡ ἀρχὴ ἑκάστου μηνὸς ἀπὸ τοῦ Φαρβαρδὶν μέχρι τέλους. οἷον ὁ ψῆφος ὁ ἐξερχόμενος κατ' ἐναντίον ἑκάστου μηνὸς ἀπὸ τῶν κινήσεων τῶν ἀστέρων ἀεὶ ἑνοῦται τῷ θεμελίῳ ἐκείνου τοῦ ἀστέρος. καὶ τὸ εὑρισκόμενον τίθεται εἰς τὴν ἀρχὴν τοῦ αὐθημερινοῦ. ἔπειτα γίνεται εἰσέλευσις εἰς τὰ κανόνια τῶν ἡμερῶν. καὶ ὁ ψῆφος τῆς μίας ἡμέρας ἀπὸ τῶν $\overline{\beta}$ κρατεῖται. καὶ ὁ ψῆφος τῶν $\overline{\varepsilon}$ ἡμερῶν ἀπὸ τῶν $\overline{\varsigma}$. καὶ ὁ ψῆφος τῶν $\overline{\iota}$ ἡμερῶν ἀπὸ τῶν $\overline{\iota\alpha}$ κρατεῖται. καὶ ὁ ψῆφος τῶν $\overline{\iota\varepsilon}$ ἡμερῶν ἀπὸ τῶν $\overline{\iota\varsigma}$ κρατεῖται. καὶ ἓν ἕκαστον | εἰς τὸ θεμέλιον ἑκάστου μηνὸς ἑνοῦται, καὶ ὁ ψῆφος τῆς ἡμέρας f123vL
ἐκείνης γράφεται ἀπ' ἐκείνου τοῦ μηνός.

Ἐπεὶ γοῦν ἐγένετο ἄδεια τοῦ ψήφου τῆς μέσης κινήσεως καὶ ἀπὸ τῶν μηνῶν καὶ τῶν ἡμερῶν, ἔπειτα ἓν ἓν αὐθημερινὸν ἐκβάλλεται ἑκάστου ἀστέρος εἰς τὸ μῆκος καὶ τὸ πλάτος· καὶ εἰς τὸ πλάτος τῆς μέσης κινήσεως γράφεται εἰς τὸ κανόνιον τοῦ αὐθημερινοῦ. τούτου δὲ γενομένου, ἔπειτα ὁ ψῆφος τοῦ αὐθημερινοῦ καθ' ἑκάστην ἡμέραν μερίζεται ἀντιλήψει Θεοῦ.

---

4 φαρβαδὶν L ‖ 6 τοῦ ἀστέρος] τῶν ἀστέρων v. post quod v add et cancell ἕκαστον ἑκάστῳ κίνησις τοῦ ἡλίου τῷ θεμελίῳ τοῦ αὐθημερινοῦ τοῦ ἡλίου καὶ καθεξῆς ‖ 13 $\overline{\alpha}$ διὰ L ‖ 17 ἀντιλήψει Θεοῦ] μετὰ τῆς τοῦ θεοῦ βοηθείας καὶ ἕν τι λεπτόν L

Μοιρα ὀγδόη. Περὶ τοῦ αὐθημερινοῦ τῶν ἀστέρων εἰς τὸ μῆκος καὶ πλάτος καὶ ἑτέρων τινῶν

Ἐκείνων δὲ τῶν ἀστέρων ὧν τὸ αὐθημερινὸν εἰς τὸ μῆκος ἐκβάλλεται ταῦτα· ὁ ἥλιος καὶ ἡ σελήνη καὶ ἡ κίνησις τούτων εἰς τὸ πλέον καὶ ἔλαττον, καὶ εἰς τὴν κατάληψιν τῆς διαμέτρου | τούτων καὶ τοῦ αὐθημερινοῦ τοῦ f68Vv καταβιβάζοντος καὶ τοῦ αὐθημερινοῦ τῶν ε̅ ἀστέρων, καὶ εἰς τὴν κατάληψιν τῆς κατ' ὀρθὸν κινήσεως τῶν ἀστέρων καὶ τοῦ ὑποποδισμοῦ αὐτῶν.

Ἐκείνων δὲ τῶν ἀστέρων ὧν ἐκβάλλεται τὸ αὐθημερινὸν ἀπὸ τοῦ πλάτους, ἡ σελήνη ἐστὶ καὶ οἱ ε̅ ἀστέρες ὧν τὸ πλάτος |ἐκβάλλεται ἢ εἰς τὸ βόρειον 294vv μέρος ἢ εἰς τὸ νότιον. τηρηθέντα δὲ ταῦτα πάντα ἐγράφησαν εἰς τὰ κανόνια τῆς ὀρθώσεως τῶν ἀστέρων. κατ' ἐναντίον οὖν τούτων εἰς τὴν ἀρχὴν τῶν κανονίων | β̅ ἀλληλουχίαι ἐτέθησαν. καὶ ταύταις ταῖς δυσὶν ὄνομα ἐτέθη f124rL μέτρον. καὶ ὁ ψῆφος τοῦ κύκλου (ἤτοι τῆς σφαίρας) τετελειωμένου ἐνταῦθα ἐτέθη.

Ἡ α΄ οὖν ἀλληλουχία εἰς τὸν ψῆφον τῶν ζῳδίων ἀπὸ τοῦ ξ̅ μέχρι τῶν ε̅ ζῳδίων, καὶ ὁ ψῆφος τῶν μοιρῶν ἀπὸ τῆς μίας μοίρας μέχρι καὶ τῶν ρ̅π̅. τῆς δευτέρας δὲ ἀλληλουχίας ὁ ψῆφος ἀντεστραμμένος ἀπὸ τῶν κάτω ποιούμενος τὴν ἀρχὴν πρὸς τὰ ἄνω. ἡ ἔναρξις ἐκείνης ἀπὸ τῶν ς̅ ζῳδίων μέχρι τοῦ Κριοῦ, δι' ὧν πληροῦται καὶ ὁ ψῆφος τῆς σφαίρας πάσης. μετὰ δὲ τοῦ ψήφου τῶν

1 Περὶ τοῦ αὐθημερινοῦ] εἰς τὸ γνώρισμα τῶν αὐθημερινῶν L ‖ 3 δὲ om. Vv ‖ 8 δὲ om L ‖ 12 δύο L ‖ 17 δὲ om. Vv

μοιρῶν ἡ ἔναρξις ἐκείνων ἀπὸ τῶν $\overline{\rho\pi\alpha}$ μέχρι τῶν $\overline{\tau\xi}$ μοιρῶν εἰς τὸν ψῆφον τοῦτον τῆς σφαίρας. καὶ ἕτερος ψῆφος, εἰ γίνεται ὁ ψῆφος εἰς τὰ ζῴδια, ἀπὸ τῆς ἀρχῆς τῶν $\overline{\theta}$ ζῳδίων μετὰ τῆς τάξεως τούτων μέχρι τοῦ ♈ ἤγουν τοῦ Κριοῦ καὶ τῆς ἀρχῆς τῶν $\overline{\gamma}$. ἐκεῖνο ἥμισυ λέγεται ὕψωμα τῆς σφαίρας, καὶ μετὰ τοῦ ψήφου τῶν μοιρῶν ἀπὸ τῶν $\overline{\sigma o}$ μοιρῶν ἕως τῶν $\overline{\tau\xi}$ καὶ μέχρι τῶν $\overline{\rho}$. καὶ ἀπὸ τῶν $\overline{\gamma}$ δὲ ζῳδίων μέχρι τῶν $\overline{\varsigma}$ ζῳδίων καὶ τῆς ἀρχῆς τῶν $\overline{\theta}$ ἐκεῖνο λέγεται ἥμισυ τῆς κάτω σφαίρας, | καὶ μετὰ τοῦ ψήφου τῶν μοιρῶν ἀπὸ τῶν f69rV
$\overline{\rho}$ μοιρῶν μέχρι τῶν $\overline{\rho\pi}$ καὶ εἰς τὰς $\overline{\sigma o}$ μοίρας. αὕτη ἡ μοῖρα εἰς $\overline{\delta}$ κεφάλαια διαιρεῖται.

Κεφάλαιον $\overline{\alpha}$. | Περὶ τῆς καταλήψεως τοῦ αὐθημερινοῦ τοῦ ἡλίου καὶ τῆς f124vL
σελήνης καὶ τῶν $\overline{\varepsilon}$ ἀστέρων καὶ τοῦ καταβιβάζοντος. τοῦτο τὸ κεφάλαιον εἰς $\overline{\delta}$ διαιρεῖται.

Διαίρεσις $\overline{\alpha}$. Περὶ τοῦ αὐθημερινοῦ τοῦ ἡλίου

Βουλομένων ἡμῶν ποιῆσαι αὐθημερινὸν του ἡλίου, ποιοῦμεν οὕτως· ἡ μέση κίνησις τοῦ ἡλίου ἐν δυσὶ μέρεσι τίθεται τῆς ταύλας, καὶ τὸ ὕψωμα τοῦ

4 ἐκεῖνο + τὸ v | ὕψωμα et ἥμισυ transpon. Vv ‖ 6 τριῶν Vv ‖ 7 λεγεται + τὸ v ‖ 14 τοῦ ἡλίου om. v ‖ 15 τίθεται om. Vv

ἡλίου ἀφαιρεῖται ἀπὸ τοῦ ἑνὸς μέρους τῆς μέσης κινήσεως. εἴ τι καταλειφθῇ, κέντρον ἐστὶ τοῦ ἡλίου. ἔπειτα κατ' ἐναντίον τοῦ κέντρου τούτου γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον τῆς ὀρθώσεως τοῦ ἡλίου, καὶ ζητεῖται τὸ κέντρον τοῦτο εἰς τὰ $\overline{\beta}$ κανόνια τῆς α΄ καὶ β΄ ἀλληλουχίας. ἔνθα εὑρεθῇ κατ' ἐναντίον τούτου εἰς τὴν γ΄ ἀλληλουχίαν, ἡ ὄρθωσις κρατεῖται, καὶ ἀπὸ τῆς δ΄ ἀλληλουχίας ἡ περισσεία κρατεῖται· καὶ τίθενται καὶ τὰ $\overline{\beta}$ εἰς τὴν ταῦλαν. ἐὰν οὖν ἔχῃ τὸ κέντρον λεπτὰ μετὰ τοῦ ψήφου τῶν $\overline{\beta}$ κανονίων, ὀρθοῦται ὁ ψῆφος τῆς ὀρθώσεως, καὶ γίνεται ἡ τελεία ὄρθωσις. ἔπειτα τηρεῖται. ἐὰν τὸ κέντρον ἐν τῇ α΄ ἀλληλουχίᾳ , ἡ ὄρθωσις ἀπὸ τῆς μέσης κινήσεως ἀφαιρεῖται, ἐὰν δὲ εἰς τὴν δευτέραν ἀλληλουχίαν, ἑνοῦται τὸ κέντρον τῇ μέσῃ κινήσει, | καὶ εὑρίσκεται τὸ αὐθημερινὸν τοῦ ἡλίου. εἰ δὲ ἡ ὄρθωσις ἀφαιρεθῇ ἀπὸ τοῦ 295rv
κέντρου ἢ ἑνωθῇ τούτῳ, ἔπειτα τὸ τέλειον ὕψωμα ἑνωθῇ | τῷ κέντρῳ τούτῳ f69vV
| τῷ εὑρεθέντι ὕστερον πλέον ἢ ἔλαττον ἀπὸ τῆς ἑνώσεως ἢ ἀφαιρέσεως, καὶ f125rL
αὖθις ἐκεῖνο τὸ αὐθημερινὸν τοῦ ἡλίου.

Διαίρεσις β΄. Περὶ τοῦ αὐθημερινοῦ τῆς σελήνης

Τίθενται ἡ μέση κίνησις καὶ ἡ ἰδία καὶ τὸ κέντρον τῆς σελήνης εἰς τὴν ταῦλαν καὶ ἡ μέση κίνησις τοῦ ἀναβιβάζοντος, πάντα ἰδίᾳ. ἔπειτα κατ'

1 $\overline{\alpha}$ L ‖ 3 τὰ κανόνια L ‖ 4 πρώτης Vv | δευτέρας Vv ‖ 5 τρίτην Vv ‖ 6 τετάρτης Vv ‖ 7 δύο v ‖ 9 πρώτῃ V ‖ 14 ἡλίου + ἵν' ἢ L ‖ 15 δευτέρα v | Περὶ] εἰς τὸ γνώρισμα L ‖ 17 ἀναβιβάζοντος] καταβιβάζοντος Vv

ἐναντίον τοῦ κέντρου γίνεται εἰσέλευσις εἰς τὰ κανόνια τῶν ὀρθώσεων τῆς σελήνης, καὶ ζητεῖται ἐκεῖ τὸ κέντρον εἰς τὴν α΄ καὶ β΄ ἀλληλουχίαν. ἔνθα εὑρεθῇ κατ' ἐναντίον ἐκείνου, γίνεται ἐισέλευσις εἰς τὴν γ΄ ἀλληλουχίαν, καὶ ἡ α΄ ὄρθωσις τῆς σελήνης κρατεῖται μετὰ τοῦ μέσου τῶν $\overline{\beta}$ κανονίων ψήφου ἐκείνου. εἶτα τηρεῖται. ἐὰν τὸ κέντρον εἰς τὴν α΄ εὑρεθῇ ἀλληλουχίαν, ἡ ὄρθωσις ἡ α΄ ἑνοῦται τῇ ἰδίᾳ κινήσει. εἰ δὲ εἰς τὴν β΄ ἀλληλουχίαν, ἀφαιρεῖται ταύτης, καὶ εὑρίσκεται ἡ ἰδία τελεία κίνησις. αὕτη τηρεῖται. εἶτα κατ' ἐναντίον τοῦ κέντρου γίνεται ἡ εἰσέλευσις εἰς τὸ κανόνιον τῆς τετάρτης ἀλληλουχίας, καὶ κρατοῦνται τὰ γενικὰ λεπτὰ καὶ τίθενται εἰς ἓν μέρος τῆς ταύλας. ἔπειτα κατ' ἐναντίον τῆς ἰδίας τελείας κινήσεως γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον τῶν ὀρθώσεων τῆς σελήνης, καὶ ζητεῖται ἡ ἰδία κίνησις εἰς τὴν α΄ καὶ β΄ ἀλληλουχίαν | τοῦ κέντρου. ἔνθα εὑρεθῇ, κατ' ἐναντίον f125vL
ἐκείνου γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον τῆς πέμπτης ἀλληλουχίας, καὶ ἡ β΄ ὄρθωσις τῆς σελήνης κρατεῖται μετ' ἐκείνου τοῦ ψήφου τοῦ εὑρισκομένου μέσον τῶν $\overline{\beta}$ κανονίων, καὶ τίθεται εἰς ἓν μέρος τῆς ταύλης. αὕτη δέ ἐστιν ἡ οὐχὶ τελεία ὄρθωσις. ἔπειτα κατ' ἐναντίον τῆς ἰδίας | τελείας κινήσεως f70rV
γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον τῶν ὀρθώσεων τῆς σελήνης εἰς τὴν α΄ καὶ β΄ ἀλληλουχίαν. ἔνθα εὑρεθῇ, κατ' ἐνατίον ἐκείνου γίνεται εἰσέλευσις εἰς τὸ

1 τῶν ὀρθώσεων om Vv ‖ 2 πρώτην V | δευτέραν Vv ‖ 3 τρίτην Vv ‖ 4 πρώτη Vv ‖ 5 πρώτην V ‖ 6 πρώτη Vv | δευτέραν Vv ‖ 8 κέντρου + τηρεῖται καὶ v ‖ 12 πρώτην Vv | δευτέραν Vv ‖ 14 δευτέρα Vv ‖ 15 μέσον om v ‖ 17 πρώτην Vv ‖ 18 δευτέραν Vv

κανόνιον τῆς ς΄ ἀλληλουχίας, καὶ τὸ ἐγγύτερον μῆκος κρατεῖται— μοῖραι καὶ λεπτά. ἐκεῖνο εἰς τὰ γενικὰ λεπτὰ τηρεῖται. εἴ τι εὑρεθῇ, ἐκεῖνο ἀεὶ ἑνοῦται τῇ β΄ ὀρθώσει, καὶ γίνεται ἡ β΄ ὄρθωσις τελεία.

Ἔπειτα τηρεῖται. ἐὰν ἡ ἰδία τελεία κίνησις εἰς τὴν α΄ ἀλληλουχίαν εὑρίσκηται, ἡ β΄ αὕτη τελεία ὄρθωσις ἀφαιρεῖται ἀπὸ τῆς μέσης κινήσεως. εἰ δὲ εἰς τὴν β΄ ἀλληλουχίαν ἑνοῦται αὕτη τῇ μέσῃ κινήσει, καὶ εὑρίσκεται τὸ αὐθημερινὸν τῆς β΄ σφαίρας τῆς σελήνης. εἰ δὲ βουληθῶμεν ποιῆσαι αὐθημερινὸν εἰς τὴν α΄ σφαῖραν τῆς σελήνης, ἡ μέση κίνησις τοῦ ἀναβιβάζοντος ἑνοῦται τῷ αὐθημερινῷ τῆς σελήνης. εἴ τι εὑρεθῇ, ἐκεῖνο μοῖρά ἐστι | τοῦ πλάτους τῆς σελήνης. εἰ δὲ τὸ αὐθημερινὸν τοῦ f295vv
καταβιβάζοντος ἀφαιρεθῇ | ἀπὸ τοῦ αὐθημερινοῦ τῆς σελήνης, καὶ αὖθις ἡ f126rL
μοῖρα ἐκείνη ἐστὶ ἐκεῖνο τοῦ πλάτους τῆς σελήνης. ἔπειτα κατ' ἐναντίον ἐκείνου γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον τῶν ὀρθώσεων τῆς σελήνης, καὶ ζητεῖται τοῦτο εἰς τὴν β΄ ἀλληλουχίαν. ἔνθα εὑρεθῇ, κατ' ἐναντίον ἐκείνου γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον τῆς ἑβδόμης ἀλληλουχίας τῆς σελήνης, καὶ κρατοῦνται τὰ λεπτὰ τῆς γ΄ ὀρθώσεως τῆς σελήνης καὶ τηροῦνται. ἔπειτα τηροῦται ἡ μοῖρα τοῦ πλάτους τῆς σελήνης. ἐὰν ᾖ ἐλάττων τῶν $\bar{\gamma}$ ζῳδίων καὶ πλέων τῶν $\bar{\varsigma}$ ζῳδίων – ἐλάττων δὲ τῶν $\bar{\theta}$ ζῳδίων, ἐκείνη δὲ ἡ γ΄

1 ἕκτης v ‖ 3 δευτέρᾳ Vv | δευτέρα Vv ‖ 4 πρώτην Vv ‖ 5 δευτέρα V ‖ 6 δευτέραν V ‖ 7 δευτέρας Vv ‖ 8 πρώτην Vv ‖ 9 ἀναβιβάζοντος] καταβιβάζοντος Vv ‖ 12 ἐκεῖνο om Vv ‖ 14 δευτέραν Vv ‖ 16 τρίτης Vv ‖ 17 ᾖ] οὖν Vv ‖ 18 τρίτη Vv

ὄρθωσις ἀφαιρεῖται ἀπὸ τοῦ αὐθημερινοῦ τῆς β΄ σφαίρας τῆς σελήνης. εἰ δ' ἐστὶ πλέων τῶν $\overline{\gamma}$ | ζῳδίων καὶ ἐλάττων τῶν $\overline{\varsigma}$ ἢ πλέον τῶν $\overline{\theta}$ ζῳδίων, αὕτη ἡ f70vV γ΄ ὄρθωσις ἑνοῦται τῷ αὐθημερινῷ τῆς σελήνης, καὶ γίνεται τὸ αὐθημερινὸν τῆς α΄ σφαίρας τῆς σελήνης. ἡ α΄ οὖν αὕτη τῆς σελήνης σφαίρας ὀρθή ἐστι μετὰ τῆς σφαίρας τῶν $\overline{\iota\beta}$ ζῳδίων.

Διαίρεσις γ΄. Περὶ τοῦ αὐθημερινοῦ τοῦ καταβιβάζοντος καὶ τοῦ ἀναβιβάζοντος

Μετὰ τὸ ἐκβληθῆναι τὴν μέσην κίνησιν τοῦ καταβιβάζοντος ὡς ἐρρέθη, ἐκείνη ἀπὸ τῶν $\overline{\iota\beta}$ ζῳδίων ἀφαιρεῖται. εἴ τι καταλειφθῇ, τὸ αὐθημερινόν ἐστι τοῦ καταβιβάζοντος. $\overline{\varsigma}$ οὖν ζῴδια ἑνοῦται ἐκείνῳ, καὶ τὸ αὐθημερινὸν τοῦ ἀναβιβάζοντος γίνεται.

Διαίρεσις δ΄. Περὶ τῆς κατλήψεως τοῦ αὐθημερινοῦ τῶν $\overline{\varepsilon}$ ἀστέρων

Τίθενται εἰς τὴν ταῦλαν ἰδίᾳ καὶ ἰδίᾳ ἡ μέση κίνησις, ἡ ἰδία, καὶ τὸ ὕψωμα τοῦ ἀστέρος. ἔπειτα τὸ ὕψωμα ἀεὶ ἀφαιρεῖται ἀπὸ τῆς μέσης κινήσεως, καὶ εὑρίσκεται τὸ κέντρον. εἶτα τὸ κέντρον τοῦτο ζητεῖται εἰς τὰ κανόνια τῶν ὀρθώσεων τῶν ἀστέρων εἰς τὴν α΄ ἢ τὴν β΄ ἀλληλουχίαν τοῦ μέτρου. ἔνθα

---

1 δευτέρας Vv ‖ 3 τρίτη Vv ‖ 4 πρώτης Vv | πρώτης Vv ‖ 6 τρίτη v ‖ 12 τῆς καταλήψεως om Vv ‖ 16 πρώτην Vv | δευτέραν Vv

οὖν εὑρεθῇ, κατ' ἐναντίον ἐκείνου γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον τῆς γ´ ἀλληλουχίας, καὶ κρατεῖται ἡ α´ ὄρθωσις — μοῖραι καὶ λεπτά — μετὰ τοῦ ψήφου τοῦ εὑρεθέντος μέσον τῶν $\overline{\beta}$ κανονίων.

Ἔπειτα τηρεῖται τὸ κέντρον. ἐὰν ᾖ ἀπὸ τῆς α´ ἀλληλουχίας, ἡ α´ ὄρθωσις ἑνοῦται τῇ ἰδίᾳ κινήσει καὶ ἀφαιρεῖται ἀπὸ τοῦ κέντρου. εἰ δ' ἐστὶ τὸ κέντρον ἀπὸ τῆς β´ ἀλληλουχίας, ἡ α´ ὄρθωσις ἑνοῦται τῷ κέντρῷ καὶ ἀφαιρεῖται ἀπὸ τῆς ἰδίας κινήσεως. καὶ γίνονται αἱ $\overline{\beta}$ τέλειοι. ἔπειτα γίνεται εἰσέλευσις κατ' ἐναντίον τοῦ τελείου κέντρου εἰς τὸ κανόνιον τῆς τετάρτης ἀλληλουχίας, καὶ κρατοῦνται τὰ γενικὰ λεπτά. ἐὰν οὖν ὦσιν ἐκεῖνα γεγραμμένα διὰ κοκκίνου, πλεονασμός ἐστιν, εἰ δὲ διὰ μέλανος, ἔλλειψις. ταῦτα τίθενται εἰς ἓν μέρος τῆς ταύλας. ἔπειτα | κατ' ἐναντίον τοῦ ἰδίου τελείου γίνεται εἰσέλευσις εἰς τὰ f71rV κανόνια τῶν ὀρθώσεων εἰς τὴν α´ καὶ β´ ἀλληλουχίαν. ἔνθα οὖν εὑρεθῇ, κατ' |ἐναντίον ἐκείνου γίνεται εἰσέλευσις εἰς τὸ |κανόνιον τῆς ς´ ἀλληλουχίας. καὶ f296rv, f127rL ἡ β´ ὄρθωσις κρατεῖται — μοῖραι καὶ λεπτά — καὶ ὁ μέσον τῶν $\overline{\beta}$ κανονίων ψῆφος. αὕτη οὖν οὐχὶ τελεία λέγεται ὄρθωσις. ἔπειτα πάλιν κατ' ἐναντίον τῆς ἰδίας τελείας κινήσεως γίνεται εἰσέλευσις. ἐὰν τὰ γενικὰ λεπτὰ πλεονασμὸς ὦσιν, κατ' ἐναντίον τοῦ κανονίου τῆς ζ´ ἀλληλουχίας καὶ κρατεῖται τὸ ἐγγύτερον μῆκος. εἰ δὲ τὰ γενικὰ λεπτὰ ἔλλειψίς εἰσιν, εἰς τὸ κανόνιον

---

1 τρίτης Vv ‖ 2 πρώτη Vv ‖ 4 πρώτης Vv | πρώτη Vv ‖ 6 δευτέρας Vv | πρώτη Vv ‖ 12 πρώτην Vv | δευτέραν Vv ‖ 13 ἕκτης v ‖ 14 β´] δευτέρα V ‖ 17 ἑβδόμης Vv ‖ 18 ἐγγύτερον] ἕτερον v

γίνεται εἰσέλευσις τῆς ε΄ ἀλληλουχίας, καὶ κρατεῖται τὸ πόρρω μῆκος. ἐκεῖνο οὖν τὸ ἐξελθὸν ἀεὶ τηρεῖται εἰς τὰ γενικὰ λεπτά. εἴ τι εὑρεθῇ, ἐὰν τὰ γενικὰ λεπτὰ διὰ κοκκίνου, τοῦτο ἑνοῦται τῇ β΄ ὄρθωσει. εἰ δὲ διὰ μέλανος, ἀφαιρεῖται ἐξ ἐκείνου, καὶ γίνεται ἡ β΄ ὄρθωσις τελεία. ἔπειτα τηρεῖται. ἐὰν ἡ ἰδία τελεία εἰς τὴν α΄ ἀλληλουχίαν ᾖ, ἡ β΄ αὕτη τελεία ὄρθωσις τῷ τελείῳ κέντρῳ ἑνοῦται. εἰ δὲ εἰς τὴν δευτέραν ἀλληλουχίαν εὑρεθῇ, ἀφαιρεῖται ἐξ ἐκείνου. ἔπειτα ἑνοῦται ἀεὶ τούτῳ τὸ ὕψωμα, καὶ εὑρίσκεται τὸ αὐθημερινὸν τοῦ ἀστέρος. ἡ αὐτὴ μέθοδος καὶ εἰς τοὺς λοιποὺς ἀστέρας.

Κεφάλαιον β΄. Περὶ τῆς κατ' ὀρθῆς κινήσεως τῶν ἀστέρων καὶ τοῦ ὑποποδισμοῦ αὐτῶν

| Ἐπεὶ χρεία εἰδέναι τοῦτο, κατ' ἐναντίον τοῦ τελείου κέντρου τοῦ ἀστέρος f127vL
ἐκείνου γίνεται εἰσέ|λευσις εἰς τὰ κανόνια τῆς ὀρθώσεως τοῦ ἀστέρος εἰς f71vV
τὴν α΄ ἢ β΄ ἀλληλουχίαν. ἔνθα οὖν εὑρεθῇ, κατ' ἐναντίον ἐκείνου γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον τῆς η΄ ἀλληλουχίας, καὶ κρατεῖται ὁ α΄ στηριγμὸς καὶ φυλάττεται. ἔπειτα οὗτος ἀφαιρεῖται ἀπὸ τῶν $\overline{\iota\beta}$ ζῳδίων, καὶ ὁ β΄ γίνεται στηριγμός. εἶτα τηρεῖται ἡ ἰδία τελεία κίνησις. ἐὰν ἐξισοῦται τῷ α΄ στηριγμῷ,

1 πέμπτης Vv ‖ 3 δευτέρᾳ Vv ‖ 4 δευτέρα Vv ‖ 5 πρώτην Vv | δευτέρα Vv ‖ 14 πρώτην Vv | δευτέραν Vv ‖ 15 πρῶτος v ‖ 17 πρώτῳ Vv

ὁ ἀστὴρ ἵσταται ἤγουν στηρίζει. καὶ ἔπειτα μέλλει ὑποποδίσαι. εἰ δὲ ἡ ἰδία κίνησις ἡ τελεία πλείων τοῦ α΄ στηριγμοῦ καὶ ἐλάττων τοῦ β΄ στηριγμοῦ, ὁ ἀστὴρ ὑποποδίζει. εἰ δ' ἐστὶν ἡ ἰδία αὕτη τελεία κίνησις κατ' ἐναντίον τοῦ β΄ στηριγμοῦ, ὁ ἀστὴρ στηρίζει καὶ μέλλει κινηθῆναι κατ' ὀρθόν. εἰ δὲ πλείων τοῦ β΄ στηριγμοῦ καὶ ἐλάττων τοῦ α΄ στηριγμοῦ, ὁ ἀστὴρ κατ' ὀρθὸν κινεῖται.

Διαίρεσις. Περὶ τοῦ εἰδέναι ἡνίκα κινεῖται κατ' ὀρθὸν ὁ ἀστὴρ καὶ ὅταν ὑποποδίζῃ

Ἐὰν ὁ ἀστὴρ κινῆται κατ' ὀρθόν, καὶ βουλόμεθα εἰδέναι πότε στρέφεται, ἡ ἰδία τελεία κίνησις ἀφαιρεῖται ἀπὸ τοῦ α΄ στηριγμοῦ. εἴ τι καταλειφθῇ, ἐκεῖνο μερίζεται εἰς τὴν κατὰ τὸ νυχθήμερον ἰδίαν κίνησιν|τοῦ ἀστέρος. εἴ τι ἐξέλθῃ, f128rL
ἐκεῖνό ἐστι καιρὸς ὅτι ἄρχει ὑποποδίζειν ὁ ἀστήρ. καὶ ἐὰν βουλώμεθα εἰδέναι πόσας ἡμέρας κινεῖται κατ' ὀρθὸν ὁ ἀστήρ, ὁ β΄ στηριγμὸς ἀφαιρεῖται ἀπὸ τῆς ἰδίας τελείας κινήσεως. εἴ τι καταλειφθῇ, μερίζεται εἰς τὴν ἰδίαν κίνησιν τοῦ ἀστέρος ἐκείνου ἣν κινεῖται καθ' ἓν νυχθήμερον. εἴ τι οὖν ἐξέλθῃ, ἐκεῖνος ὁ καιρὸς ὅσας ἡμέρας κινεῖται |κατ' ὀρθὸν ὁ ἀστήρ. f296vv

---

Διαίρεσις. Ἐὰν ὁ ἀστὴρ ὑποποδίζῃ, καὶ ζητῆται πότε κινηθήσεται κατ'

2 πρώτου Vv ‖ 3 δευτέρου Vv ‖ 5 δευτέρου Vv | πρώτου Vv ‖ 9 πρώτου Vv | ἐκεῖνο om Vv ‖ 10–13 εἰς τὴν ... μερίζεται om Vv ‖ 11 βουλώμεθα corr.in βουλόμεθα L ‖ 16 διαίρεσις + καὶ L | ζητῆται] δεήσει γενέσθαι δῆλον L

ὀρθόν, ἡ ἰδία τελεία κίνησις ἀπὸ τοῦ δευτέρου στηριγμοῦ ἀφαιρεῖται. εἴ τι καταλειφθῇ, εἰς τὴν | ἰδίαν κίνησιν ἣν κινεῖται ὁ ἀστὴρ κατὰ τὸ νυχθήμερον f72rV
μερίζεται. εἴ τι καταλειφθῇ, καιρός ἐστιν ὅτι ὁ ἀστὴρ πληρουμένου τούτου κινηθήσεται κατ' ὀρθόν. εἰ δὲ καὶ πόσας ἡμέρας ὑποποδίζει ὁ ἀστὴρ βούλει εἰδέναι, ὁ α΄ στηριγμὸς ἀφαιρεῖται ἀπὸ τῆς ἰδίας τελείας κινήσεως. εἴ τι καταλειφθῇ, ἐκεῖνο μερίζεται εἰς ὅπερ πολλάκις εἴρηται. εἴ τι εὑρεθῇ, ἐκεῖνο καιρός ἐστιν ὅτι ὁ ἀστὴρ ὑποποδίζει. καὶ ἐκείνη δὲ ἡ ἰδία κίνησις τοῦ κατὰ νυχθήμερον κινουμένου ἀστέρος τοῦ Κρόνου τόση· ϛ $\overline{\text{νζ}}$, τοῦ Διὸς τόση· ϛ $\overline{\text{νδ}}$, τοῦ Ἄρεος τόση· ϛ $\overline{\text{κη}}$, τῆς Ἀφροδίτης τόση· ϛ $\overline{\text{λζ}}$, τοῦ Ἑρμοῦ τόση· $\overline{\text{γ}}$ $\overline{\text{ς}}$.

| Κεφάλαιον γ΄. Περὶ τοῦ πλάτους τῶν ἀστέρων τοῦ βορείου καὶ τοῦ νοτίου f128vL

Τοῦτο τριχῶς διῃρέθη.

Διαίρεσις α΄. Περὶ τοῦ πλάτους τῆς σελήνης

Τὸ αὐθημερινὸν τοῦ ἀνάβιβάζοντος ἀφαιρεῖται ἀπὸ τοῦ αὐθημερινοῦ τῆς σελήνης, καὶ ἡ μοῖρα τοῦ πλάτους καταλιμπάνεται, ἣ ἑνοῦται ἡ μέση κίνησις

3 καιρός ἐστιν] ἡ ὥρα Vv | πληρουμένης ταύτης Vv ‖ 4 βούλει] δεήσει γενέσθαι δῆλον L ‖ 5 πρῶτος Vv ‖ 14 καταβιβάζοντος L

τοῦ ἀναβιβάζοντος τῷ αὐθημερινῷ τῆς σελήνης, καὶ ἡ μοῖρα τοῦ πλάτους γίνεται δήλη. ἔπειτα κατ' ἐναντίον τῆς μοίρας τοῦ πλάτους γίνεται εἰσέλευσις εἰς τὰ κανόνια τῆς ὀρθώσεως τῆς σελήνης εἰς τὴν α΄ καὶ β΄ ἀλληλουχίαν. ἔνθα οὖν εὑρεθῇ ἡ μοῖρα τοῦ πλάτους, κατ' ἐναντίον ἐκείνης γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον τῆς η΄ ἀλληλουχίας, καὶ τὸ πλάτος κρατεῖται τῆς σελήνης μετὰ τοῦ εὑρεθέντος ψήφου μέσον τῶν $\overline{\beta}$ κανονίων. ἔπειτα τηρεῖται ἡ μοῖρα τοῦ πλάτους. εἴπερ ἐστὶν εἰς τὴν α΄ ἀλληλουχίαν τὸ πλάτος βόρειον, εἰ δὲ εἰς τὴν β΄ τὸ πλάτος εἰς τὸ | νότιον μέρος. καὶ εἰ ἔστιν ἀπὸ τοῦ ϛ μέχρι τῶν $\overline{\gamma}$ ζῳδίων f72vV βορεία ἐστὶν ἀνάβασις, εἰ δὲ ἀπὸ τῶν $\overline{\gamma}$ μέχρι τῶν $\overline{\varsigma}$ βορεία κατάβασις, εἰ δὲ ἀπὸ τῶν $\overline{\varsigma}$ ζωδίων ἐστὶ μέχρι καὶ τῶν $\overline{\theta}$ νοτία κατάβασις, εἰ δὲ ἀπὸ τῶν $\overline{\theta}$ ζῳδίων ἐστὶ μέχρι τοῦ ϛ νοτία ἀνάβασις.

Διαίρεσις β΄. | Περὶ τοῦ πλάτους τῶν ἀστέρων τῶν ἄνω τοῦ ἡλίου — τοῦ f129rL Κρόνου, τοῦ Διός, καὶ τοῦ Ἄρεος

Τὸ κέντρον τὸ τέλειον ζητεῖται εἰς τὰ κανόνια τῶν ὀρθώσεων τῶν ἀστέρων εἰς τὴν α΄ καὶ τὴν β΄ ἀλληλουχίαν εἰς τὸν Κρόνον καὶ τὸν Δία. ἐὰν οὖν τὸ κέντρον εὑρεθῇ εἰς τὴν α΄ ἀλληλουχίαν, κατ' ἐναντίον τῆς θ΄ ἀλληλουχίας γίνεται εἰσέλευσις, καὶ κρατοῦνται τὰ γενικὰ λεπτά. εἰ δὲ τὸ κέντρον εἰς τὴν

---

3 πρώτην Vv | δευτέραν Vv ‖ 5 ὀγδόης Vv ‖ 7 πρώτην Vv ‖ 8 δευτέραν Vv ‖ 11 ἐστὶ om Vv ‖ 14 τὸ τέλειον κέντρον Vv ‖ 15 πρώτην Vv | δευτέραν Vv ‖ 16 πρώτην Vv | ἐνάτης Vv ‖ 478 .17 –479.2 εἰ δὲ τὸ κέντρον . . . τὰ γενικὰ λεπτὰ in marg v

β΄ ἀλληλουχίαν εὑρεθῇ, κατ' ἐναντίον τοῦ κανονίου τῆς ι΄ ἀλληλουχίας γίνεται εἰσέλευσις, καὶ κρατοῦνται τὰ γενικὰ λεπτά. ἔπειτα τῆρειται. ἐὰν τὰ γενικὰ λεπτὰ διὰ κοκκίνου τὸ πλάτος βόρειον, εἰ δὲ διὰ μέλανος τὸ πλάτος νότιον. ἐκεῖνο τίθεται ἰδίᾳ εἰς ἓν μέρος τῆς ταύλας. ἔπειτα ἡ ἰδία τελεία κίνησις ζητεῖται ἐν τοῖς κανονίοις τῶν ὀρθώσεων |εἰς τὴν α΄ καὶ β ἀλληλουχίαν. ἔνθα 297rv εὑρεθῇ, κατ' ἐναντίον ἐκείνου γίνεται εἰσέλευσις, καὶ κρατεῖται τὸ πλάτος τὸ νότιον.

Εἰς δὲ τὸν Ἄρεα κατ' ἐναντίον τοῦ τελείου κέντρου γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον τῆς θ΄ ἀλληλουχίας, καὶ κρατοῦνται τὰ γενικὰ λεπτά. ἐὰν ὦσι διὰ κοκκίνου τὸ πλάτος βόρειον, εἰ δὲ διὰ μέλανος τὸ πλάτος νότιον. ἔπειτα κατ' ἐναντίον τοῦ ἰδίου | τελείου γίνεται εἰσέλευσις. ἐὰν τὰ γενικὰ λεπτὰ f73rV διὰ κοκκίνου, εἰς τὸ κανόνιον τῆς ι΄ |ἀλληλουχίας, καὶ τὸ βόρειον κρατεῖται f129vL πλάτος. εἰ δὲ διὰ μέλανος, ταῦτα εἰς τὸ κανόνιον τῆς ια΄ ἀλληλουχίας, καὶ κρατεῖται ἐκεῖθεν τὸ νότιον πλάτος. ἔπειτα τὰ γενικὰ λεπτὰ τηροῦνται εἰς τὸ πλάτος, καὶ εὑρίσκεται τὸ τέλειον πλάτος εἴτε νότιον εἴτε βόρειόν ἐστιν.

Εἰ δὲ καὶ δεήσει δῆλον γενέσθαι ὅτι ἀνάβασίς ἐστιν ἢ κατάβασις, τηρεῖται. ἐὰν τὸ ἴδιον τέλειον ἔλαττον τῶν $\overline{\varsigma}$ ζῳδίων καὶ τὸ πλάτος βόρειον, ἐκεῖνο ἀνάβασίς ἐστι βορεία. εἰ δὲ τὸ πλάτος νότιον, κατάβασις νοτία. εἰ δὲ τὸ ἴδιον τέλειον πλέον τῶν $\overline{\varsigma}$ ζῳδίων καὶ τὸ πλάτος βόρειον, κατάβασίς ἐστι

1 β΄] δευτέραν v | τοῦ κανονίου om v | δεκάτης V ‖ 5 πρώτην Vv | δευτέραν Vv ‖ 9 θ΄ om. Vv ‖ 12 δεκάτης Vv 12–13 καὶ τὸ βόρειον. . . τῆς ια΄ ἀλληλουχίας in marg v ‖ 13 ἑνδεκάτης V

βορεία. εἰ δὲ τὸ πλάτος νότιον, ἀνάβασις νοτία.

Διαίρεσις τρίτη. Περὶ τοῦ πλάτους τῆς Ἀφροδίτης

Αὕτη τρία πλάτη ἔχει.

Πλάτος α΄. Γίνεται εἰσέλευσις εἰς τὰ κανόνια τῆς Ἀφροδίτης ὡς ἐρρέθη ἄνω. καὶ κατ' ἐναντίον τοῦ τελείου κέντρου γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον τῆς ιγ΄ ἀλληλουχίας, καὶ κρατοῦνται τὰ λεπτὰ τοῦ πλάτους. τοῦτο δὲ τὸ πλάτος ἀεὶ βόρειον. καὶ τηροῦνται εἰς ἓν μέρος τῆς ταύλας.

Πλάτος β΄. Ἔπειτα κατ' ἐναντίον τοῦ ἰδίου τελείου γίνεται εἰσέλευσις εἰς τὰ κανόνια τῆς θ΄ ἀλληλουχίας, καὶ τὰ γενικὰ λεπτὰ κρατοῦνται καὶ τηροῦνται εἰς ἓν μέρος τῆς ταύλας. καὶ τὸ σημεῖον τούτου κρατεῖται οὕτως· ἐὰν τὸ κέντρον εἰς τὴν α΄ ἀλληλουχίαν ἐστὶ τὸ σημεῖον ἐκεῖνο $\overline{\alpha}$, εἰ δὲ εἰς τὴν β΄ | ἀλληλουχίαν | τὸ κέντρον τὸ σημεῖον ἐκεῖνο $\overline{\beta}$. ἐκεῖνο τὸ σημεῖον f73vV,f130rL κρατεῖται. ἔπειτα κατ' ἐναντίον τοῦ ἰδίου τελείου γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον τῆς ι΄ ἀλληλουχίας, καὶ κρατεῖται τὸ πλάτος.

Εἶτα καὶ τοῦτο κρατεῖται οὕτως· ἐὰν τὸ ἴδιον εἰς τὸ ἄνω ἡμισφαίριον τὸ σημεῖον ἐκείνου $\overline{\alpha}$, εἰ δὲ εἰς τὸ κάτω ἡμισφαίριον τὸ σημεῖον ἐκείνου $\overline{\beta}$. τὸ σημεῖον τοῦτο κρατεῖται. ἔπειτα τὸ πλάτος τοῦτο τηρεῖται εἰς τὰ γενικὰ

---

9 ἐνάτης Vv ‖ 10 post καὶ v add et cancell πλάτος ‖ 11 πρώτην Vv ‖ 12 δευτέραν V ‖ 14 ι΄] δεκάτης Vv ‖ 15 καὶ om. Vv

λεπτὰ τὰ κρατηθέντα δι᾽ αὐτό, καὶ εὑρίσκεται τὸ πλάτος τὸ τέλειον. καὶ ἐκεῖνο φυλάττεται | καὶ τηρεῖται. ἔπειτα ἐὰν τὰ δύο σημεῖα $\overline{\beta\beta}$ ἢ καὶ τὰ δύο 297vv $\overline{\alpha\alpha}$ τὸ πλάτος βόρειον, εἰ δὲ τὸ ἓν $\overline{\beta}$ καὶ τὸ ἕτερον $\overline{\alpha}$ τὸ πλάτος νότιον.

Πλάτος γ΄. Κατὰ τὸ γ΄ γίνεται εἰσέλευσις κατ᾽ ἐναντίον τοῦ τελείου κέντρου εἰς τὸ κανόνιον τῆς ια΄ ἀλληλουχίας, καὶ τὰ γενικὰ λεπτὰ κρατοῦνται. καὶ τὸ σημεῖον ἐκείνου – ἐὰν εἰς τὸ ἄνω ἡμισφαίριον – $\overline{\alpha}$, εἰ δὲ εἰς τὸ κάτω ἡμισφαίριον $\overline{\beta}$. ταῦτα τηροῦνται. ἔπειτα κατ᾽ ἐναντίον τοῦ ἰδίου τελείου γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον τῆς ιβ΄ ἀλληλουχίας, καὶ τὸ πλάτος κρατεῖται. τὸ σημεῖον ἐκείνου τοῦτο. ἐὰν τὸ ἴδιον εἰς τὴν α΄ ἀλληλουχίαν ἐστὶ $\overline{\alpha}$, εἰ δὲ εἰς τὴν β΄ $\overline{\beta}$.

Εἶτα τούτου τὸ πλάτος εἰς τὰ γενικὰ λεπτὰ τούτου κρατεῖται. καὶ τὸ τέλειον | εὑρίσκεται πλάτος. ἔπειτα τηρεῖται. ἐὰν τὰ $\overline{\beta}$ σημεῖα ἐξισοῦνται τὸ f130vL πλάτος εἰς τὸ βόρειον μέρος, εἰ δ᾽ οὐκ ἐξισοῦνται τὸ πλάτος εἰς τὸ νότιον.

Εἶτα καὶ τὰ $\overline{\gamma}$ πλάτη τίθενται ἰδίᾳ καὶ ἰδίᾳ εἰς τὴν ταῦλαν. ἐὰν οὖν ὦσι καὶ τὰ $\overline{\gamma}$ βόρεια, καὶ τὰ $\overline{\gamma}$ ἐνοῦνται. καὶ | εὑρίσκεται τὸ πλάτος τῆς Ἀφροδίτης. εἰ f74rV δὲ ἄλλο μὲν πλάτος εἰς νότιον, ἄλλο δὲ βόρειον, κρατεῖται ἰδίᾳ τοῦ βορείου καὶ ἰδίᾳ τοῦ νοτίου. ἔπειτα τηρεῖται. ὁποῖόν ἐστιν ἔλαττον ἀφαιρεῖται τοῦ πλείονος. εἴ τι καταλειφθῇ, πλάτος ἐστὶ τῆς Ἀφροδίτης εἰς ἐκεῖνο τὸ μέρος ἔνθα ἦν τὸ πλάτος πλέον. εἰ δ᾽ εἰσὶ καὶ τὰ δύο ἐξισούμενα ἢ βόρεια ἢ νότια,

2 $\overline{\beta}$ VL ‖ 4 τρίτον Vv ‖ 5 ἑνδεκάτης Vv ‖ 9 πρώτην Vv ‖ 10 δευτέραν Vv ‖ 12 δύο Vv ‖ 14 τρία Vv ‖ 15 τρία Vv | τρία Vv

ἡ Ἀφροδίτης πλάτος οὐκ ἔχει.

Διαίρεσις γ΄. Περὶ τοῦ πλάτους τοῦ Ἑρμοῦ

Οὗτος τρία πλάτη ἔχει.

Πλάτος α΄. Κατ' ἐναντίον τοῦ τελείου κέντρου γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον τῶν ὀρθώσεων τοῦ Ἑρμοῦ. καὶ ἔνθα εὑρεθῇ εἰς τὴν β΄ ἢ τὴν α΄ ἀλληλουχίαν, κατ' ἐναντίον ἐκείνου γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον τῆς ιγ΄ ἀλληλουχίας, καὶ κρατοῦνται τὰ γενικὰ λεπτὰ τοῦ πλάτους καὶ φυλάττονται. ταῦτα ἀεὶ εἰς τὸ νότιον μέρος εἰσίν.

Πλάτος β΄. Κατ' ἐναντίον τοῦ τελείου κέντρου γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον τῆς θ΄ ἀλληλουχίας, καὶ κρατοῦνται τὰ γενικὰ λεπτὰ καὶ τηροῦνται. καὶ τὸ σημεῖον ἐκείνου | τοῦτο· ἐὰν τὸ κέντρον εἰς τὴν α΄ ἀλληλουχίαν $\overline{\beta}$, f131rL
εἰ δὲ εἰς τὴν β΄ ἀλληλουχίαν $\overline{\alpha}$. ταῦτα τηροῦνται. ἔπειτα κατ' ἐναντίον τοῦ ἰδίου τελείου γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον τῆς ί ἀλληλουχίας, | καὶ f298rv
κρατεῖται τὸ πλάτος. τὸ σημεῖον ἐκείνου τοῦτο· ἐὰν τὸ ἴδιον εἰς τὸ ἄνω ἡμισφαίριον $\overline{\alpha}$, εἰ δὲ εἰς τὸ κάτω ἡμισφαίριον $\overline{\beta}$. ἔπειτα τὸ πλάτος εἰς τὰ γενικὰ λεπτὰ τούτου τηρεῖται, καὶ εὑρίσκεται τὸ τέλειον πλάτος.

Εἶτα τηρεῖται. ἐὰν καὶ τὰ $\overline{\beta}$ σημεῖα ἐξισοῦνται τὸ πλάτος βόρειον, εἰ δ' οὐκ

2 περὶ + τοῦ γνωρίσματος L ‖ 5 δευτέραν Vv | πρώτην Vv ‖ 9 β΄] κατὰ τὸ β΄ L ‖ 10 ἐνάτης Vv ‖ 11 πρώτην Vv ‖ 12 δευτέραν Vv ‖ 13 δεκάτης Vv ‖ 14 τοῦτο om. v ‖ 16 λέπτα post τούτου V ‖ 17 δύο Vv 17–483.1 τὸ πλάτος ... ἐξισοῦνται τὸ in marg v

ἐξισοῦνται πλάτος νότιον.

Πλάτος γʹ. Αὖθις γίνεται εἰσέλευσις κατ᾽ ἐναντίον τοῦ τελείου κέντρου | f74vV
εἰς τὸ κανόνιον τῆς ιαʹ ἀλληλουχίας, καὶ τὰ γενικὰ λεπτὰ κρατοῦνται. τὸ σημεῖον ἐκεῖνο· ἐὰν εἰς τὸ ἄνω ἡμισφαίριον $\overline{\alpha}$, εἰ δὲ εἰς τὸ κάτω ἡμισφαίριον τὸ κέντρον $\overline{\beta}$. ταῦτα κρατοῦνται. ἔπειτα κατὰ τὸ βʹ κατ᾽ ἐναντίον τοῦ ἰδίου τελείου γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον τῆς ιβʹ ἀλληλουχίας, καὶ κρατεῖται τὸ γʹ πλάτος τοῦ Ἑρμοῦ. τοῦτο πλάτος οὐχὶ τέλειον λέγεται.

Ἐπεὶ δὲ χρεία εἰδέναι τὴν ὄρθωσιν τούτου, ἐκεῖνο τὸ πλάτος εἰς $\overline{\beta}$ μέρη τίθεται, καὶ τὸ ἓν τηρεῖται. τὸ δὲ ἕτερον τηρεῖται εἰς τὰ $\overline{\varsigma}$ λεπτά. εἴ τι εὑρεθῇ, ὄρθωσίς ἐστι τοῦ πλάτους ἐκείνου. ἔπειτα τηρεῖται. ἐὰν τὸ τέλειον κέντρον τοῦ Ἑρμοῦ εἰς τὸ ἄνω ἡμισφαίριον, ἡ ὄρθωσις αὕτη ἀπὸ τοῦ τρίτου τούτου πλάτους τοῦ | τηρηθέντος ἀφαιρεῖται. εἰ δὲ εἰς τὸ κάτω ἡμισφαίριον, ἑνοῦται f131vL
τούτῳ, καὶ τὸ πλάτος γίνεται τέλειον εἰς τὴν ὄρθωσιν ταύτην.

Τοῦτο τὸ πλάτος τηρεῖται. εἶτα τηρεῖται. ἐὰν τὸ ἴδιον εἰς τὴν αʹ ἀλληλουχίαν τὸ σημεῖον τούτου $\overline{\beta}$, εἰ δὲ εἰς τὴν βʹ ἀλληλουχίαν $\overline{\alpha}$. ἔπειτα τοῦτο τὸ πλάτος τηρεῖται εἰς τὰ γενικὰ λεπτὰ τούτου, καὶ εὑρίσκεται τὸ πλάτος τὸ τέλειον.

Τηρεῖται δὲ ἔπειτα. ἐὰν ὦσι καὶ τὰ $\overline{\beta}$ σημεῖα ἐξισούμενα τὸ πλάτος βόρειον,

---

3 ἑνδεκάτης Vv ‖ 5 δεύτερον Vv ‖ 6 δυοδεκάτης Vv ‖ 7 τρίτον Vv ‖ 8 εἰδέναι τὴν ὄρθωσιν] τῆς ὀρθώσεως Vv | δύο Vv ‖ 9 τὸ δὲ ἕτερον τηρεῖται om Vv ‖ 12 τηρηθέντος] ῥηθέντος Vv ‖ 14 πρώτην Vv ‖ 15 δευτέραν Vv ‖ 16–17 τὸ τέλειον πλάτος Vv ‖ 18 δύο Vv

εἰ δ' οὐκ ἐξισοῦνται τὸ πλάτος νότιον. αὖθις δὲ καὶ τὰ $\overline{\gamma}$ πλάτη τίθενται ἰδίᾳ εἰς τὴν ταῦλαν καὶ τηροῦνται. ἐὰν καὶ τὰ $\overline{\gamma}$ ὦσι νότια, ἑνοῦται τὰ $\overline{\gamma}$, καὶ εὑρίσκεται τὸ τέλειον πλάτος τοῦ Ἑρμοῦ εἰς τὸ νότιον μέρος. εἰ δ' ἐστί τι εἰς τὸ βόρειον μέρος καί τι εἰς τὸ νότιον, οἷόν ἐστιν ἔλαττον ἀφαιρεῖται τοῦ πλείονος, καὶ εὑρίσκεται τὸ πλάτος τοῦ Ἑρμοῦ εἰς τὸ πλέον μέρος. | εἰ δ' f75rV ἐξισοῦνται τὸ βόρειον καὶ τὸ νότιον, ὁ Ἑρμῆς ὅλως πλάτος οὐκ ἔχει.

Ἐπεὶ δὲ χρεία εἰδέναι τὴν ἀνάβασιν καὶ κατάβασιν τῆς Ἀφροδίτης καὶ τοῦ Ἑρμοῦ εἰς τὸ πλάτος, τὸ πλάτος ἐκείνων ἐκβάλλεται εἰς μίαν ὥραν. ἔπειτα ἀπ' ἐκείνης τῆς ἡμέρας μετὰ παρέλευσιν ἱκανῶν ἡμερῶν αὖθις ἐκβάλλεται τὸ πλάτος τούτων. ἐὰν οὖν τὸ πλάτος βόρειον καὶ τὸ ἐκβληθὲν ἔπειτα πλέον ἀνάβασίς ἐστι τοῦ πλάτους, εἴ δ' ἔλαττον κατάβασις. εἰ δὲ τὸ | πλάτος νότιον, f132rL | τὸ ἐκβλθὲν εἰς τὸ β΄ ἐὰν ᾖ πλέον κατάβασίς ἐστιν, εἰ δὲ ἔλαττον ἀνάβασις. εἰ 298vv δὲ τὸ ἐκβληθὲν α΄ πλάτος βόρειον καὶ τὸ ἐκβληθὲν ἔπειτα νότιον ὁ ἀστὴρ τῆς βορείας καταβάσεως, εἰ δὲ τὸ ἐκβληθὲν πρότερον νοτίον καὶ τὸ β΄ βόρειον ἡ ἀνάβασις νοτία.

Κεφάλαιον δ΄. Περὶ τῆς καταλήψεως τῆς μεταβάσεως ἡλίου καὶ σελήνης καὶ τῆς διαμέτρου – τούτων μετὰ τοῦ ψήφου καὶ διὰ τῶν κανονίων

1 τρία Vv ‖ 2 τρία Vv | νότια] ς sup o v | τρία Vv ‖ 7 Ἐπεὶ δὲ χρεία εἰδέναι] χρείας γενομένης εἰς τὸ εἰδέναι Vv ‖ 12 δευτέραν Vv ‖ 13 πρώτον Vv ‖ 14 δεύτερον Vv

Ἡ κίνησις τῶν ἀστέρων εἰς τὸ αὐθημερινὸν ἀπὸ τοῦ μέσου τῆς ἡμέρας μέχρι καὶ τοῦ ἑτέρου μέσου τῆς ἡμέρας μετάβασις λέγεται. εἰ γοῦν δεήσει τὴν μετάβασιν τοῦ ἀστέρος εἰς τὴν μίαν ὥραν καταληφθῆναι, μερίζεται ἡ τοιαύτη τοῦ ἀστέρος μετάβασις εἰς τὰ $\overline{\text{κδ}}$.

Διαίρεσις. Ἐπεὶ χρέων εἰδέναι τὴν διάμετρον τοῦ ἡλίου διὰ τὴν ἔκλειψιν, ἡ μετάβασις ἐκείνου τηρεῖται εἰς τὰ $\overline{\text{νη}}$. εἴ τι εὑρεθῇ, μερίζεται ἐκεῖνο εἰς τὰ $\overline{\text{ρε}}$ ἤγουν | $\overline{\text{α}}$ με´ μοίρας καὶ λεπτά. εἴ τι ἐξέλθῃ, διάμετρός ἐστι τοῦ ἡλίου. f75vV
ἄλλως· ἡ μετάβασις τοῦ ἡλίου τηρεῖται εἰς τὴν μίαν ὥραν εἰς τὰ νγ´ λεπτά. εἴ τι εὑρεθῇ, μερίζεται εἰς τὰ $\overline{\text{δ}}$ καὶ ἡ διάμετρος γίνεται τοῦ ἡλίου.

Διαίρεσις. Εἰς τὴν σελήνην

Ἐπεὶ δεῖ εἰδέναι τὴν διάμετρον τῆς σελήνης διὰ τὰς ἐκλείψεις, ἡ μετάβασις ταύτης τηρεῖται εἰς τὰ $\overline{\text{ε}}$. εἴ τι εὑρεθῇ, μερίζεται εἰς τὰ $\overline{\text{ρκα}}$ ἤγουν $\overline{\text{β}}$ α´ μοίρας καὶ λεπτά, καὶ ἡ διάμετρος τῆς σελήνης γίνεται. εἰ δὲ βουλῶμεν | ἀπὸ f132vL
τῆς διαμέτρου ταύτης εἰς κατάληψιν ἐλθεῖν τῆς διαμέτρου τοῦ σκιάσματος, ἡ διάμετρος τῆς σελήνης τηρεῖται εἰς τὰ $\overline{\text{ιγ}}$. εἴ τι εὑρεθῇ, μερίζεται εἰς τὰ $\overline{\text{ε}}$, καὶ εὑρίσκεται ἡ διάμετρος τοῦ σκιάσματος. τοῦτο δὲ εἰς τὴν ἔκλειψιν τῆς

5 Ἐπεὶ χρέων εἰδέναι τὴν διάμετρον] περὶ τῆς διαμέτρου Vv ‖ 6 ἐκεῖνο om Vv ‖ 11 Ἐπεὶ δεῖ εἰδέναι τὴν διάμετρον] χρείας γενομένης τῆς διαμέτρου Vv

σελήνης λυσιτελεῖ.

Διαίρεσις. Εἰς τὴν κατάληψιν τῆς μεταβάσεως τοῦ ἡλίου καὶ τῆς σελήνης καὶ τῆς διαμέτρου τούτων ἀπὸ τοῦ κανονίου διὰ τὸν ἥλιον

Γίνεται εἰσέλευσις κατ' ἐναντίον τοῦ κέντρου ἐκείνου εἰς τὸ κανόνιον τῆς μεταβάσεως ἡλίου καὶ σελήνης καὶ τῆς διαμέτρου καὶ τοῦ σκιάσματος, καὶ ζητεῖται τὸ τοιοῦτον κέντρον ἐκεῖ εἰς τὸ κανόνιον τῶν μέτρων. ἔνθα εὑρεθῇ, κατ' ἐναντίον ἐκείνου κρατεῖται ἡ μετάβασις τοῦ ἡλίου εἰς τὸ ἓν νυχθήμερον καὶ εἰς τὴν μίαν ὥραν, καὶ ἡ διάμετρος ἐκείνου μετὰ τῆς ὀρθώσεως τοῦ σκιάσματος, καὶ τίθενται ἕκαστον ἰδίᾳ. καὶ πλείονος ἐργασίας οὐ δεῖται. διὰ τὴν σελήνην· κατ' ἐναντίον τῆς ἰδίας κινήσεως τῆς σελήνης γίνεται εἰσέλευσις εἰς τὸ τοιοῦτον κανόνιον. ἔνθα οὖν εὑρεθῇ ἐν τοῖς κανονίοις τῶν μέτρων, κατ' ἐναντίον ἐκείνου κρατεῖται ἡ μετάβασις τῆς σελήνης εἰς τὸ ἓν νυχθήμερον | καὶ εἰς τὴν μίαν ὥραν, καὶ ἡ διάμετρος ταύτης μετὰ τοῦ σκιάσματος. f76rV καὶ φυλάττονται πάντα. ἔπειτα ἡ ὄρθωσις τοῦ σκιάσματος ἐκείνου ἀπὸ τῆς διαμέτρου τοῦ σκιάσματος ἀφαιρεῖται. καὶ εἴ τι καταλειφθῇ, διάμετρός ἐστι τοῦ σκιάσματος τελεία.

8–13 καὶ[1] — νυχθήμερον om. Vv

| Μοῖρα θ΄. Περὶ τῆς καταλήψεως τοῦ πλείονος καὶ ἐλάττονος ἀπὸ τῆς ὄψεως. f299rv, f133rL

πρὸ τούτου ζητεῖται μετὰ ψήφων τόσων διὰ τὴν τέχνην ταύτην μετὰ τοῦ ψήφου καὶ διὰ τῶν κανονίων. τοῦτο εἰς $\overline{\gamma}$ διαιρεῖται κεφάλαια.

Κεφάλαιον α΄. Περὶ τῶν ψήφων ἐκείνων τῶν τόσων. καὶ τοῦτο εἰς $\overline{\varepsilon}$ διαιρεῖται κεφάλαια.

Διαίρεσις α΄. Εἰς τὴν κατάληψιν τῆς ἀναβάσεως τοῦ τόπου τῶν ἄκρων τῆς σφαίρας τῶν ζῳδίων ἤγουν τῶν ἄκρων τῆς κερκίδος δι᾽ ἧς κινεῖται ἡ σφαῖρα. ὁ ψῆφος τούτου τοιοῦτος· μερίζεται ἡ τραχηλαῖα τῆς ἀναβάσεως τοῦ ι΄ οἰκήματος τῆς τύχης τοῦ καιροῦ εἰς τὴν τραχηλαῖαν τοῦ τόξου ἐκείνου ἥτις ἐστὶν μεταξὺ τοῦ ι΄ οἰκήματος καὶ τῆς τύχης τοῦ καιροῦ. εἴ τι ἐξελθῇ παρ᾽ ἕνα βαθμὸν ἔλαττον κρατεῖται, καὶ εὑρίσκεται ἡ τραχηλαῖα ἡ τετελειωμένη τῆς ἀναβάσεως τοῦ τόπου τῶν ἄκρων τῆς κερκίδος. τὸ τόξον ἐκείνης κρατεῖται, καὶ ἀφαιρεῖται τοῦτο ἀπὸ τῶν $\overline{\rho}$. εἴ τι καταλειφθῇ, ἡ ἀνάβασίς ἐστι τοῦ τόπου τῶν ἄκρων.

---

1 τῆς καταλήψεως om Vv | ἀπὸ] καὶ L ‖ 3 τρία Vv ‖ 8 δεκάτου L

Διαίρεσις β΄. Περὶ τῆς ἀναβάσεως οἵας βουλόμεθα μοίρας καὶ τῆς|ἀναβάσεως f76vV
τῆς σελήνης ἡνίκα πλάτος οὐκ ἔχῃ

Ὁ ψῆφος τοιοῦτος· ἡ τραχηλαῖα τοῦ μήκους ἥτις ἐστὶ μεταξὺ | τῆς τύχης f133vL
τοῦ καιροῦ καὶ τῆς μοίρας ἐκείνης ἣν βουλόμεθα τηρεῖται εἰς τὴν τραχηλαῖαν
5 τοῦ τόξου ἐκείνου ἥτις ἐστὶ μεταξὺ τῆς τύχης καὶ τοῦ ι΄ οἰκήματος. εἴ τι
ἐξέλθῃ, τραχηλαῖά ἐστι τῆς ἀναβάσεως τῆς μοίρας ἐκείνης ἣν βουλόμεθα.

Διαίρεσις γ΄. Περὶ τῆς καταλήψεως τῶν $\overline{\gamma}$ γωνιῶν ἀπὸ τοῦ πλείονος καὶ
ἐλάττονος καὶ τῆς ὄψεως

Περὶ τῆς α΄ γωνίας οὕτω ἐστίν· ἐὰν ᾖ ἡ σελήνη εἰς τὴν μοῖραν τῆς τύχης
10 καὶ ἡ τύχη τοῦ καιροῦ τοῦτο· $\overline{\varsigma}$ ♋ ♋, ἡ ἀνάβασίς ἐστι ♋ ἀπὸ τοῦ Καρκίνου
εἰς τὸν κύκλον τοῦ μέσου τῆς ἡμέρας. ἡ γωνία τοῦ μήκους τετελειωμένη εἰς
τὰ $\overline{\rho}$, καὶ τοῦτο ἡ γωνία τοῦ πλάτους. εἰ δὲ ἡ τύχη τοῦ καίρου τοῦτο· ♋ ♋ ♋
– τὸ ♋ ὁ Κριός, ἡ ἀνάβασίς ἐστιν εἰς τὸ ♋ τοῦ Αἰγοκέρωτος εἰς τὸν κύκλον
τοῦ μέσου τῆς ἡμέρας. ἡ γωνία τοῦ μήκους τετελειωμένη εἰς τὰ $\overline{\rho}$, καὶ τοῦτο
15 ἡ γωνία τοῦ πλάτους. εἰ δὲ ἡ τύχη τοῦ καιροῦ οὐκ ἔστιν εἰς τὸ ♋ τοῦ Κριοῦ
καὶ τοῦ Ζυγοῦ, ἡ ἀνάβασις τοῦ τόπου τῶν ἄκρων ἡ γωνία τοῦ πλάτους ἐστὶ
τετελειωμένη, καὶ τοῦτο γωνία τοῦ μήκους.

---

5 δεκάτου v ‖ 6 ἐξέλθῃ + ἡ Vv ‖ 7 τῆς καταλήψεως om Vv | τριῶν Vv ‖ 9 πρώτῆς Vv

Περὶ τῆς β′ γωνίας οὕτως ἐστίν, ὅτι ἡ σελήνη εἰς τὴν μοῖραν τοῦ ι′ οἰκήματος ᾗ εἰς τὴν ἀρχὴν τοῦ Κριοῦ ἢ τοῦ Ζυγοῦ εἰς τὴν μετάκλισιν τοῦ ὅλου τοῦ μήκους, τῆς γωνίας τετελειωμένης τοῦ πλάτους ⟨...⟩ τῆς γωνίας. ἐὰν ᾗ ἡ σελήνη εἰς τὴν ἀρχὴν τοῦ Καρκίνου ἢ τοῦ Ἀιγοκέρωτος, | ἡ γωνία f134rL
5 τοῦ μήκους οὐκ ἔστιν ἐκεῖ. | εἰ δὲ ἡ σελήνη εἰς τοὺς $\overline{\delta}$ τούτους τόπους οὐκ f77rV
ἂν γένηται, τηρεῖται ἡ ἀρχὴ τοῦ Κριοῦ ἢ τοῦ Ζυγοῦ ποία | ἐστὶν ἐγγύτερον f299vv
τοῦ ι′ οἰκήματος. καὶ τὸ μῆκος τὸ μεταξὺ ἢ τοῦ Κριοῦ ἢ τοῦ Ζυγοῦ καὶ τοῦ ι′ οἰκήματος κρατεῖται μετὰ τῶν ὀρθῶν μοιρῶν τοῦ ζῳδίου, καὶ αὖθις κρατεῖται τὸ μῆκος τῆς τύχης μετὰ τῆς εὐθείας γραμμῆς. ἔπειτα κρατεῖται ἡ
10 τραχηλαῖα τῶν $\overline{\beta}$ μηκῶν. εἶτα ἡ τραχηλαῖα τοῦ τόπου τῆς τύχης μερίζεται εἰς τὴν τραχηλαῖαν τῶν μηκῶν. εἴ τι ἐξέλθῃ, παρ' ἕνα βαθμὸν ἔλαττον κρατεῖται, καὶ τὸ εὑρεθὲν τραχηλαῖά ἐστιν. κρατεῖται οὖν τὸ τόξον ἐκείνου. εἴ τι εὑρεθῇ, γωνία τοῦ πλάτους ἐστίν, καὶ τὸ πλήρωμα ταύτης γωνία ἐστὶ τοῦ μήκους.

15 Περὶ τῆς γ′ γωνίας. ἐὰν ἡ σελήνη εἰς τὴν τύχην ἢ εἰς τὸ ι′ οἴκημα οὐκ ἔστιν ἢ μεταξὺ τῆς τύχης ἐστὶ καὶ τοῦ ι′ ἢ μέσον τοῦ ι′ καὶ τοῦ ζ′ ἐστὶν οἰκήματος, ἡ τραχηλαῖα τῆς ἀναβάσεως τοῦ τόπου τῶν ἄκρων κρατεῖται. καὶ ἐκεῖνος μερίζεται εἰς τὴν τραχηλαῖαν τῆς τετελειωμένης ἀναβάσεως τῆς σελήνης. εἴ τι οὖν ἐξέλθῃ, παρ' ἕνα βαθμὸν ἔλαττον κρατεῖται. εἴ τι εὑρεθῇ, τραχηλαῖά

1 δευτέρας Vv | τὴν + ι′ v ‖ 2 ᾗ] ἢ LVv ‖ 5 τέσσαρες Vv | τούτους geminavit v ‖ 10 δύο Vv ‖ 15 τρίτης v

ἐστιν. τὸ τόξον ἐκείνης κρατεῖται. εἴ τι εὑρεθῇ, γωνία ἐστὶ τοῦ πλάτους. καὶ τοῦτό ἐστιν ἡ τετελειωμένη γωνία τοῦ πλάτους.

Διαίρεσις δ΄. Εἰς τὸ γνώρισμα τοῦ πλείονος καὶ ἐλάττονος | τῆς ὄψεως εἰς τὸν κύκλον τῆς ἀναβάσεως ὧν ἐστι χρεία εἰς τὴν ἔκλειψιν τοῦ ἡλίου μετὰ τοῦ κανονίου f134vL

Κανόνιον ἐτέθη διὰ τὸ πλέον καὶ ἔλαττον | τῆς ὄψεως διὰ τὸν ἥλιον καὶ τὴν σελήνην. γίνεται οὖν εἰσέλευσις εἰς ἐκεῖνο τὸ κανόνιον κατ' ἐναντίον τῆς τετελειωμένης ἀναβάσεως τοῦ ἡλίου καὶ τῆς σελήνης, καὶ κρατεῖται τὸ πλέον καὶ ἔλαττον τῆς ὄψεως – διὰ τὸν ἥλιον ἀπὸ τῆς β΄ ἀλληλουχίας καὶ διὰ τὴν σελήνην ἀπὸ τῆς γ΄ καὶ δ΄ ἀλληλουχίας. καὶ τίθενται πάντα εἰς τὴν ταῦλαν. ἔπειτα κατ' ἐναντίον τοῦ ἰδίου τῆς σελήνης ἢ κατ' ἐναντίον τῆς μεταβάσεως σελήνης γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον τῆς μεταβάσεως ἡλίου καὶ σελήνης. καὶ κατ' ἐναντίον τούτου κρατοῦνται τὰ λεπτὰ τοῦ αὐθημερινοῦ. ἐκεῖνα τηροῦνται εἰς ἐκεῖνον τὸν ψῆφον τὸν ἐξελθόντα ἀπὸ τῆς δ΄ ἀλληλουχίας. εἴ τι οὖν εὑρεθῇ, ἑνοῦται εἰς ἐκεῖνον τὸν ψῆφον τὸν ἐξελθόντα ἀπὸ τῆς γ΄ ἀλληλουχίας, καὶ τὸ ἀναφανὲν τὸ πλέον καὶ ἔλαττον τῆς ὄψεως τῆς σελήνης ἐστὶν εἰς τὸν κύκλον τῆς ἀναβάσεως. f77vV

---

3 ἐλάττονος + καὶ LVv ‖ 9 δευτέραν Vv ‖ 10 τρίτης Vv | τετάρτης Vv ‖ 11 τοῦ ἰδίου sup lin L ‖ 15 τετάρτης Vv 15–16 εἴ τι. . . γ΄ ἀλληλουχίας in marg v ‖ 16 τρίτης Vv ‖ 490 .17 –491.2 ἐστὶν εἰς . . . τῆς σελήνης om. Vv

Ἔπειτα τὸ πλέον καὶ ἔλαττον τῆς ὄψεως τοῦ ἡλίου ἀπὸ τοῦ πλείονος καὶ ἐλάττονος τῆς ὄψεως τῆς σελήνης ἀφαιρεῖται, καὶ τὸ καταλειφθὲν τὸ πλέον καὶ ἔλαττον τῆς ὄψεως τῆς σελήνης τετελειωμένον ἐστὶν οὗ χρεία διὰ τὴν ἔκλειψιν τοῦ ἡλίου.

Διαίρεσις ε΄. Περὶ τοῦ πλείονος | καὶ ἐλάττονος τῆς ὄψεως τῆς σελήνης μετὰ τοῦ ψῆφου εἰς τὸ μῆκος καὶ πλάτος f135rL

Τηρεῖται ἡ τραχηλαῖα ἑκάστου ἰδίᾳ, τῆς γωνίας τοῦ μήκους καὶ τοῦ πλάτους, εἰς τὴν τραχηλαῖαν τοῦ πλείνονος καὶ ἐλάττονος τῆς ὄψεως τῆς σελήνης τοῦ κύκλου τῆς ἀναβάσεως. τὸ γοῦν εὑρεθὲν παρ' ἕνα βαθμὸν ἔλαττον κρατεῖται, καὶ τὸ καταλειφθὲν τραχηλαῖα τοῦ πλείονος καὶ ἐλάττονος τῆς ὄψεώς ἐστιν. | τὸ τόξον ἐκείνης κρατεῖται, καὶ εὑρίσκεται f300rv, f78rV τὸ |ἐκτλῆφι μανδὰρ ἤτοι τὸ πλέον καὶ ἔλαττον τῆς ὄψεως. ἐὰν οὖν ᾖ ἡ τραχηλαῖα τῆς γωνίας τοῦ μήκους, καὶ τοῦτο τοῦ μήκους·εἰ δὲ τοῦ πλάτους ἦν ἐκείνη, καὶ τοῦτο τοῦ πλάτους.

Κεφάλαιον δεύτερον. Περὶ τοῦ πλείονος καὶ ἐλάττονος τῆς ὄψεως εἰς τὸ μῆκος καὶ πλάτος διὰ τοῦ κανονίου ὅπερ ἐστὶν εὐκαταληπτότερον

12 ᾖ om. Vv ‖ 15 δεύτερον v

Ἴσθι ὅτι ὁ Θαβὰν ἐκεῖνος ὁ Ἀλεξανδρηνὸς κανόνιον τέθεικεν εἰς τὰ $\overline{\zeta}$ κλίματα εἰς τὴν περισσείαν τῆς ἡμισείας ὥρας μετ' ἐκείνου τοῦ ψήφου ἡνίκα ἐστὶν ἡ σελήνη εἰς τὴν ἀρχὴν ἑκάστου ζῳδίου. οὗτος οὖν ὁ ψῆφος ὁ τεθεὶς παρ' ἐκείνου οὕτως ἐγένετο ὅτι τὸ πλέον καὶ ἔλαττον τῆς ὄψεως τοῦ ἡλίου ἀφαιρεῖται ἀπὸ τοῦ πλείονος καὶ ἐλάττονος τῆς ὄψεως. καὶ ὁ ψῆφος οὗτος διὰ τὴν ἔκλειψιν μόνην ἐστὶ τοῦ ἡλίου.

Εἰ οὖν γένηται χρεία δι' ἕτερον ψῆφον τῆς σελήνης οὐχὶ | διὰ ἔκλειψιν, 135vL ἕκαστον ἐκείνων τοῦ πλείονος καὶ ἐλάττονος τῆς ὄψεως τοῦ μήκους καὶ πλάτους τηρεῖται εἰς τὰ $\overline{\iota\eta}$, καὶ τὸ ἐξελθὸν μερίζεται εἰς τὰ $\overline{\iota\zeta}$. εἴ τι οὖν ἐξέλθῃ ἀπὸ τοῦ μήκους ἢ ἀπὸ τοῦ πλάτους, διὰ τούτου ὀρθοῦται ὁ τόπος τῆς σελήνης ἤγουν τὸ αὐθημερινόν. καὶ τοῦτο τὸ πλέον καὶ ἔλαττον τῆς ὄψεως τῆς σελήνης κατ' ἐναντίον τῆς ὥρας τοῦ μήκους τοῦ μέσου τῆς ἡμέρας κρατεῖται. γενομένης εἰσελεύσεως ἐν τοῖς κανονίοις τοῦ πλείονος καὶ ἐλάττονος τῆς ὄψεως, ἐκείνη οὖν ἡ ὥρα τοῦ μήκους πρότερόν πως ὀφείλει καταλειφθῆναι. ἡ ὥρα τοῦ μέσου τῆς ἡμέρας ἐκείνης ἡνίκα μέλλει ἐκλιπεῖν ὁ ἥλιος κρατεῖται καὶ τίθεται εἰς τὴν ταῦλαν. ἔπειτα ἡ ὥρα τῆς συνόδου καὶ αὕτη τίθεται εἰς τὴν ταῦλαν. καὶ τηρεῖται ἀπὸ τῶν $\overline{\beta}$ | ποία πλείων, καὶ ἡ f78vV ἐλάττων ἀφαιρεῖται τῆς πλείονος. εἴ τι οὖν καταλειφθῇ, ἐκεῖνο ἡ ὥρα ἐστὶ τοῦ μήκους. τοῦτο τηρεῖται. ἔπειτα τηρεῖται. ἐὰν ἡ ὥρα τοῦ μέσου τῆς

14 τῆς ὄψεως om. Vv | πως] περα L ‖ 17 δύο Vv

ἡμέρας πλείων, ἡ ὥρα τοῦ μήκους πρὸ τοῦ μέσου τῆς ἡμέρας ἐστίν· εἰ δὲ ἡ ὥρα τοῦ μέσου τῆς ἡμέρας ἐλάττων, ἡ ὥρα τοῦ μήκους μετὰ τὸ μέσον τῆς ἡμέρας ἐστίν.

Διαίρεσις. Περὶ τοῦ πλείονος καὶ ἐλάττονος τῆς ὄψεως τῆς σελήνης εἰς τὸ μῆκος καὶ πλάτος μετὰ τοῦ ψήφου τοῦ πλάτους τῆς πόλεως

Ἐπεὶ χρεία γενέσθαι ψῆφον, ζητεῖται κανόνιον ἀπὸ τῶν κανονίων τοῦ πλείονος καὶ ἐλάττονος τῆς ὄψεως ὅτι τὸ πλάτος ἐκεῖνο τοῦ κανονίου | ἵν' f136rL
ᾖ ἐξισούμενον τῷ πλάτει τῆς πόλεως. ἐκεῖνο τὸ κανόνιον ὅπερ εὑρεθῇ, εἰς ἐκεῖνο τὸ κανόνιον ζητεῖται τὸ ζῴδιον ἐν ᾧ ἐστιν ἡ σελήνη. καὶ κατ' ἐναντίον τοῦ κανονίου ἐκείνου τοῦ ζῳδίου κατὰ βάθος ζητοῦνταψαὶ ὧραι τοῦ μήκους. f300vv
ἐὰν οὖν ἡ ὥρα πρὸ τοῦ μέσου τῆς ἡμέρας, εἰς τὸ ἄνω μέρος τοῦ κανονίου ἀπὸ τοῦ μέσου τῆς ἡμέρας ζητοῦνται αἱ ὧραι τοῦ μήκους· εἰ δὲ μετὰ τὸ μέσον τῆς ἡμέρας, εἰς τὸ κάτω. εἰ δὲ ἡ ὥρα εἰς τὸ μέσον τῆς ἡμέρας, ἐξ ἐκείνου γίνεται εἰσέλευσις. ἔνθα οὖν εὑρεθῇ ἡ ὥρα τοῦ μήκους, κατ' ἐναντίον ἐκείνου κρατεῖται τὸ πλέον καὶ ἔλαττον τῆς ὄψεως εἰς τὸ μῆκος καὶ πλάτος. εἰ δὲ ἔχει ἡ ὥρα λεπτά, ἐκεῖνο μετὰ τοῦ ψήφου τοῦ μέσου τῶν $\overline{\beta}$ κανονίων γίνεται τέλειον.

10 v habet annotationem quartam in marg. L habet annotationem quartam in marg f136v, V habet annotationem quartam in marg f79r ‖ 12 εἰς τὸ ἄνω μέρος τοῦ κανονίου add et cancell v ‖ 16 δύο Vv ‖ 17 L habet annotationem quintam in marg f137r, V habet annotationem quintam in marg f79r

---

Διαίρεσις κατὰ πολὺ λυσιτελοῦσα εἰς τὸ πλέον καὶ ἔλαττον τῆς ὄψεως.

Εἰ γένηται λήθη, οὕτως· ἀπὸ τῆς ὥρας ἐκείνης ἀφ' ἧς γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον μέσον τῆς ὥρας ἐκείνης καὶ τῆς μετ' ἐκείνην ἐρχομένης, ἐκεῖ ἐτέθησαν σημεῖα στιγμαί· ○ ○ ○○. ἐκεῖ οὖν ἔνθα | εὑρεθῶσιν αἱ στιγμαὶ αὗται f79rV
5 μέσον τῶν $\overline{\beta}$ ψηφῶν, περισσεία οὐ κρατεῖται, ἀλλὰ οἱ $\overline{\beta}$ ψῆφοι κρατοῦνται καὶ ἑνοῦνται καὶ τίθενται εἰς τὴν ταῦλαν εἰς δύο μέρη· τὸ ἓν μέρος φυλάττεται, καὶ τὸ ἕτερον εἰς τὰ λεπτὰ τοῦ μήκους τῆς ὥρας ἐκείνης τῆς πρώτης μέσον τῆς ἡμέρας ἢ μετὰ τὸ μέσον τῆς ἡμέρας τηρεῖται. | τὸ γοῦν εὑρεθὲν τηρεῖται. f136vL
ἐὰν ᾖ ἐξισούμενον ἐκείνῳ τῷ μέρει τῷ φυλαττομένῳ, ἤδη φανερὸν ἐγένετο
10 ὅτι πλέον καὶ ἔλαττον τῆς ὄψεως οὐκ ἔστιν· εἰ δὲ οὐκ ἐξισοῦται, ἡ μέση τῶν $\overline{\beta}$ περισσεία ἐκβάλλεται, ἤγουν τὸ ἔλαττον ἀφαιρεῖται τοῦ πλείονος. εἴ τι οὖν καταλειφθῇ, ἐκεῖνο πλέον καὶ ἔλαττόν ἐστι τῆς ὄψεως εἰς τὸ μῆκος.

Διαίρεσις. Περὶ τῆς ὀρθώσεως τῶν μοιρῶν τῶν ζῳδίων

Εἴπερ δὲ ἡ σελήνη εἰς τὴν ἀρχὴν τοῦ ζῳδίου, εἴ τι εὑρεθῇ κατ' ἐναντίον
15 τοῦ ζῳδίου ἐκείνου εἰς τὸ κανόνιον τοῦ πλείονος καὶ ἐλάττονος τῆς ὄψεως, τοῦτο τὸ πλέον καὶ ἔλαττον τέλειον οὐκ ἔστιν. ἐπεὶ οὖν χρεία ὀρθωθῆναι

---

1 κατὰ πολὺ om Vv ‖ 5 δύο Vv | δύο Vv ‖ 9 τῷ μέρει τῷ φυλαττομένῳ] τῷ φυλαττομένῳ μέρει L ‖ 11 δύο v ‖ 494 .13 –495.9 Διαίρεσις. . . ἑνοῦται τούτῳ om Vv

τοῦτο ἀπὸ τοῦ ἄλλου ζῳδίου τοῦ μετ' ἐκεῖνο, κατ' ἐναντίον ἐκείνου κρατεῖται τὸ πλέον καὶ ἔλαττον τῆς ὄψεως. ἔπειτα ἡ περισσεία ἡ μέση τῶν $\overline{\beta}$ πλειόνων καὶ ἐλαττόνων τῶν ὄψεων τῶν μέσων τῶν $\overline{\beta}$ ζῳδίων κρατεῖται. ἐκείνη ἡ περισσεία τηρεῖται εἰς τὰς μοίρας τῆς σελήνης, καὶ εἰς τὰ $\overline{\lambda}$ μερίζεται τὸ ἐξελθόν. εἴ τι οὖν καταλειφθῇ, ὄρθωσίς ἐστιν. ἔπειτα ἀπὸ τῶν $\overline{\beta}$ πλειόνων ἐκείνων καὶ ἐλαττόνων τῆς ὄψεως τῶν μεταξὺ τῶν $\overline{\beta}$ ζῳδίων ἐὰν τὸ πλέον καὶ ἔλαττον τῆς ὄψεως τὸ ἀπὸ τοῦ α΄ ζῳδίου πλέον ἐστὶ τοῦ β΄ πλείονος καὶ ἐλάττονος, ἡ ὄρθωσις αὕτη ἀφαιρεῖται ἐξ ἐκείνου· εἰ δ' ἔλαττον, ἡ ὄρθωσις | ἑνοῦται τούτῳ. f137rL

Διαίρεσις. Περὶ τῆς ὀρθώσεως τῶν $\overline{\beta}$ πλατῶν

Ἐὰν τὸ πλάτος τοῦ κανονίου τούτου τοῦ πλείονος καὶ ἐλάττονος τῆς ὄψεως ἐξισοῦται τῷ πλάτει τῆς πόλεως ἧς βουλόμεθα, ὁ ψῆφος ἀπὸ τοῦ κανονίου τούτου κρατεῖται· εἰ δ' οὐκ ἐξισοῦται τὸ πλάτος τοῦ κανονίου μετὰ τοῦ πλάτους τῆς πόλεως, ζητεῖται πλάτος εἰς τὸ κανόνιον τοῦτο ἔλαττον τῆς πόλεως καὶ ἐγγύτερον ταύτης. εἶτα ζητεῖται ἐν τῷ κανονίῳ ἕτερον πλάτος πλείον τοῦ πλάτους τοῦ α΄. καὶ ἡ μέση τῶν δύο πλατῶν τοῦ πλείονος καὶ ἐλάττονος περισσεία κρατεῖται. ἔπειτα κρατεῖται καὶ ἡ μέση τοῦ πλάτους τῆς πόλεως καὶ τοῦ ἐλάττονος πλάτους τοῦ κανονίου περισσεία ἥτις καὶ τηρεῖται

10 δύο Vv ‖ 11 τοῦ τούτου v ‖ 16 πρώτου Vv

εἰς ἐκείνην τὴν περισσείαν. εἴ τι οὖν εὑρεθῇ, μερίζεται εἰς τὴν περισσείαν τῶν $\overline{\beta}$ πλατῶν τῶν κανονίων. εἴ τι καταλειφθῇ, ὄρθω|σίς ἐστιν. ἔπειτα ἀπὸ τῶν $\overline{\beta}$ f79vV πλατῶν τῶν ἐν τῷ κανονίῳ κρατηθέντων ἀφ' ὧν ἐκρατήθη ἡ περισσεία ἐκείνη, ἐὰν ᾖ ὁ ψῆφος |τοῦ α΄ πλάτους πλέον τοῦ β΄, ἡ ὄρθωσις αὕτη ἀφαιρεῖται ἀπὸ f301rv τοῦ α΄ πλάτους· εἰ δ' ἐστὶν τὸ α΄ πλάτος ἔλαττον τοῦ β΄, ἡ ὄρθωσις ἑνοῦται τούτῳ, καὶ τὸ εὑρεθὲν πλέον καὶ ἔλαττον τῆς ὄψεώς ἐστιν. ὁ ψῆφος δὲ οὗτός ἐστιν ὅταν ἡ σελήνη εἰς τὸ ὕψωμα τοῦ μικροῦ κύκλου ἐκείνου ᾖ.

Διαίρεσις. Περὶ τῆς ὀρθώσεως τοῦ πλείονος καὶ ἐλάττονος τῆς ὄψεως μετὰ τοῦ τόπου τῆς σελήνης

|Γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον τῆς μεταβάσεως ἡλίου καὶ σελήνης τῆς f137vL διαμέτρου καὶ τοῦ σκιάσματος. καὶ κατ' ἐναντίον τοῦ ἰδίου τῆς σελήνης ἢ τῆς ἀναβάσεως ταύτης γίνεται εἰσέλευσις εἰς τὰ κανόνια ἢ τοῦ ἰδίου ἢ τῆς ἀναβάσεως τῆς σελήνης, καὶ κατ' ἐναντίον ἐκείνου κρατοῦνται τὰ λεπτὰ τὰ εὑρεθέντα ἐν τῷ κανονίῳ τοῦ πλείονος καὶ ἐλάττονος τοῦ ἰδίου τῆς σελήνης. εἴ τι οὖν εὑρεθῇ, εἰς τοῦτο τηρεῖται τὸ πλέον καὶ ἔλαττον τῆς ὄψεως καὶ τοῦ μήκους καὶ τοῦ πλάτους ἰδίᾳ καὶ ἰδίᾳ. ἔπειτα τὸ εὑρεθὲν τὸ πλέον καὶ ἔλαττον τῆς ὄψεώς ἐστιν τετελειωμένον. τοῦτο φυλάττεται διὰ τὴν ἔκλειψιν

---

2 δύο Vv | δύο Vv ‖ 4 πρώτου Vv | δευτέρου v ‖ 5 πρώτου Vv | πρῶτον Vv | δευτέρου Vv ‖ 7 ᾖ] ἐστίν L ‖ 10 τὰ κανόνια Vv

τοῦ ἡλίου.

Κεφάλαιον γ΄. Περὶ τῆς ἀσφαλοῦς ποιήσεως τοῦ τόπου τῆς σελήνης εἰς τὸ μῆκος καὶ πλάτος

Ἐπεὶ χρεία γενέσθαι ἐργασίαν, τηρεῖται. ἐὰν τὸ μῆκος τῆς σελήνης ἀπὸ τῆς τύχης ἔλαττον τῶν $\overline{\rho}$ μοιρῶν, ἐνοῦται τὸ πλέον καὶ ἔλαττον τῆς ὄψεως ἐκείνης εἰς τὸ μῆκος, εἰς τὸ αὐθημερινὸν ἐκείνης ἤγουν τῆς σελήνης· εἰ δὲ πλέον, ἀφαιρεῖται ἐξ ἐκείνου τοῦ αὐθημερινοῦ. εἴ τι εὑρεθῇ, ὁ τόπος | ἐστὶ f80rV τῆς ὄψεως τῆς σελήνης.

Διαίρεσις. Περὶ τῆς στερεᾶς ποιήσεως τοῦ τόπου τῆς σελήνης εἰς τὸ πλάτος

Πρὸ τοῦ ἐργάσασθαι τὴν τέχνην ταύτην δεῖ γνῶναι τὸ πλέον καὶ ἔλαττον τῆς ὄψεως εἴτε βόρειον εἴτε νότιον. ἐκεῖνο οὖν ἀπὸ τῆς ἀναβάσεως τοῦ ι΄ οἰκήματος τῆς τύχης τοῦ καιροῦ καταλαμβάνεται οὕτως. ἐὰν ἡ ἀνάβασις τοῦ ι΄ οἰκήματος ἄνω οὖσα τῆς κεφαλῆς ἡμῶν νοτία, τὸ πλέον καὶ ἔλαττον τῆς ὄψεως τοῦ πλάτους εἰς τὸ νότιον μέρος· εἰ δὲ | βορεία, εἰς τὸ βόρειον μέρος. f138rL

Ἄλλως τὸ αὐτὸ δι᾽ ἑτέρας μεθόδου. τηρεῖται τὸ πλάτος τῆς πόλεως ἧς βουλόμεθα. εἴπερ ἐστὶ πλέον τῆς μετακλίσεως, ὅλως τὸ πλέον καὶ ἔλαττον

τῆς ὄψεως τοῦ πλάτους ἐκεῖνο ἀεὶ νότιον· εἰ δὲ τὸ πλάτος τῆς πόλεώς ἐστι τόσον ὅτι ἡ μετάκλισις ὅλη μετὰ τοῦ πλάτους τῆς σελήνης ἑνωθεῖσα ἐξισοῦται τῷ πλάτει τῆς πόλεως, τὸ πλέον καὶ ἔλαττον τῆς ὄψεως τοῦ πλάτους ἔστιν ὅτε βόρειον ὑπάρχει καὶ ἄλλοτε νότιον.

Εἰς ἐκείνην οὖν τὴν πόλιν ἥτις ἔχει οὕτως τηρεῖται τὸ πλέον καὶ ἔλαττον τῆς ὄψεως τοῦ πλάτους καὶ τὸ πλάτος τῆς σελήνης. εἴπερ ἐστὶ οὕτως ὅτι καὶ τὰ $\overline{\beta}$ εἰς τὸ μέρος τὸ βόρειον ἢ εἰς τὸ νότιόν εἰσιν, ἑνοῦται καὶ τὰ $\overline{\beta}$· εἰ δέ ἐστι τὸ ἓν βόρειον καὶ τὸ ἕτερον νότιον, τὸ ἔλαττον ἀφαιρεῖται τοῦ πλείονος. εἴ τι καταλειφθῇ, ἐκεῖνο πλάτος τῆς ὄψεως τῆς σελήνης λέγεται | ἢ καὶ πλάτος f301vv
στερεόν. δεῖ τῷ βουλομένῳ ποιεῖν αὐθημερινὸν ποιεῖν κανόνια διὰ τὸ πλέον καὶ ἔλαττον τῆς ὄψεως τῆς σελήνης εἰς τὸ πλάτος τῆς πόλεως ἐκείνης ἐν ᾗ ἐγένετο τὸ | αὐθημερινόν. f80v V

Οὕτω καθὼς ἡμεῖς ἐποιήσαμεν τοῦτο. τῆς πόλεως ἡμῶν τὸ πλάτος ἦν τόσον· $\overline{\lambda\eta}$. τοῦτό ποθεν ἐξεβλήθη παρ' ἡμῶν ἀπὸ τῶν $\overline{\beta}$ κανονίων ἀφ' ὧν τοῦ ἑνὸς τὸ πλάτος ἦν τόσον· $\overline{\lambda\varsigma}$, καὶ τοῦ ἑτέρου τὸ πλάτος τόσον· $\overline{\mu\alpha}$.

---

6 τὸ πλάτος] τοῦ πλάτους LVv ‖ 7 δύο Vv | τὸ μέρος τὸ βόρειον] τὸ βόρειον μέρος Vv | εἰσίν om L | δύο Vv ‖ 9–10 ἢ καὶ πλάτος στερεόν om. L ‖ 13 ἡμεῖς ἐποιήσαμεν τοῦτο] ἐποιήθη τοῦτο παρ' ἡμῶν Vv ‖ 14 δύο Vv

Μοῖρα ι΄. Περὶ τῆς καταλήψεως τῆς συνόδου τοῦ ἡλίου καὶ τῆς σελήνης καὶ τῆς διαμέτρου τούτων

Τοῦτο εἰς τρεῖς ψήφους ἐτέθη.

Ψῆφος α΄. Περὶ τῆς συνόδου τοῦ ἡλίου καὶ τῆς σελήνης καὶ τῆς διαμέτρου τούτων καὶ τοῦ μήκους τῆς τούτων μεταβάσεως f138vL

Τηρεῖται τὸ αὐθημερινὸν τοῦ ἡλίου καὶ σελήνης ὅτι κατὰ ποίαν ἡμέραν συνέρχονται ἢ κατὰ σύνοδον ἢ κατὰ διάμετρον εἰς ἓν ζῴδιον καὶ μίαν μοῖραν καὶ ἓν λεπτόν. ἐὰν οὖν εὑρεθῇ οὕτως, κατὰ τὴν ὥραν τοῦ μέσου τῆς ἡμέρας ἐκείνης ἐγένετο ἢ κατὰ σύνοδον ἢ κατὰ διάμετρον καὶ κατὰ τὴν μοῖραν ἐκείνην ἐν ᾗ ἐστι τηνικαῦτα ὁ ἥλιος διαμετρῶν ἢ συνοδεύων τῇ σελήνῃ.

Εἰ δὲ τὸ αὐθημερινὸν τοῦ ἡλίου καὶ τῆς σελήνης οὐκ εἰσι κατ' ἐναντίον εἰς τὸ μέσον ἐκείνης τῆς ἡμέρας $\overline{\beta}$ τηροῦνται μέσα τῆς ἡμέρας ἵνα κατὰ τὸ ἓν μέσον τῆς ἡμέρας τὸ αὐθημερινὸν τῆς σελήνης ἔλαττον ᾗ τοῦ αὐθημερινοῦ τοῦ ἡλίου, εἰς δὲ τὸ μετ' ἐκεῖνο μέσον τῆς ἡμέρας πλέον τοῦ αὐθημερινοῦ τοῦ ἡλίου. ἔπειτα τηρεῖται ποῖον μέσον τῆς ἡμέρας ἐστὶ ἐγγύτερον. κατ' ἐκεῖνο οὖν τὸ μέσον τῆς ἡμέρας κρατοῦνται καὶ ἀμφοτέρων τοῦ ἡλίου καὶ τῆς σελήνης τὰ μήκη καὶ τηροῦνται. εἶτα ἀπὸ τῶν $\overline{\beta}$ μέσων τῆς ἡμέρας f81rV ἐκβάλλεται ἑκάστου ἡ μετάβασις ἡλίου καὶ σελήνης. ἔπειτα ἡ μετάβασις τοῦ

1 συνόδου] συνδου ut videtur v ‖ 4 ψῆφος] μοῖρα LVv ‖ 12 ἐκεῖνης] ἐκεῖνο V | δύο Vv ‖ 17 δύο Vv

ἡλίου ἀφαιρεῖται ἀπὸ τῆς μεταβάσεως τῆς σελήνης. εἴ τι καταλειφθῇ, ἐκεῖνο μετάβασις λέγεται τελεία.

Εἶτα ἐκεῖνο τὸ μῆκος τὸ μέσον ἡλίου καὶ σελήνης τηρεῖται εἰς τὰ $\overline{\text{κδ}}$. εἴ τι ἐξέλθῃ, μερίζεται εἰς τὴν τελείαν ἐκείνην μετάβασιν. εἴ τι οὖν καταλειφθῇ, ἡ ὥρα ἐστὶ τοῦ μήκους. αὕτη φυλάττεται. εἶτα τηρεῖται τὸ αὐθημερινὸν τοῦ ἡλίου καὶ τῆς σελήνης εἰς ἐκεῖνο τὸ μέσον τῆς ἡμέρας. ἐὰν οὖν τὸ αὐθημερινὸν τῆς σελήνης ἔλαττον | ᾖ τοῦ αὐθημερινοῦ τοῦ ἡλίου, ἡ ὥρα τοῦ f139rL μήκους μετὰ τῆς ὥρας τοῦ μέσου τῆς ἡμέρας ἑνοῦται. εἴ τι εὑρεθῇ, εἴπερ ἐστὶν ἔλαττον τῶν ὡρῶν τῆς ἡμέρας ἐκείνης πάσης, ἐκείνη ἡ ὥρα ἡ ὥρα ἐστὶ τῆς συνόδου ἢ τῆς διαμέτρου εἰς ἐκείνην τὴν ἡμέραν· εἰ δ' ἐστὶ πλέον τὸ εὑρεθὲν τῆς ὥρας πάσης τῆς ἡμέρας, ἡ ὥρα αὕτη τῆς ἡμέρας ἀφαιρεῖται ἐξ ἐκείνου. εἴ τι ἐναπολειφθῇ, ἡ ὥρα ἐστὶ τῆς συνόδου ἢ τῆς διαμέτρου ἀπὸ τῆς ἐρχομένης νυκτός. εἰ δὲ τὸ αὐθημερινὸν τῆς σελήνης πλέον ἐστὶ τοῦ αὐθημερινοῦ τοῦ ἡλίου, τηρεῖται ἡ ὥρα τοῦ μήκους. εἴπερ ἐστὶ ἐλάττων τῆς ὥρας τοῦ μέσου τῆς ἡμέρας, ἐκείνη ἀφαιρεῖται ἀπὸ τῆς ὥρας ταύτης | τοῦ μέσου τῆς ἡμέρας. εἴ τι f302rv καταλειφθῇ, ὥρα ἐστὶ τῆς συνόδου ἢ τῆς διαμέτρου εἰς ἐκείνην τὴν ἡμέραν. εἰ δὲ ἡ ὥρα τοῦ μήκους πλείων ἐστὶ τῆς ὥρας τοῦ μέσου τῆς ἡμέρας, ἑνοῦνται καὶ αἱ $\overline{\beta}$, καὶ τὸ εὑρεθὲν ἀφαιρεῖται ἀπὸ τῶν $\overline{\text{κδ}}$.| εἴ τι καταλειφθῇ, ὥρα ἐστὶ f81vV τῆς συνόδου ἢ τῆς διαμέτρου ἀπὸ τῆς παρελθούσης νυκτός.

---

9 ἡ^2 om. Vv ‖ 12 ἡ om. Vv ‖ 18 δύο Vv ‖ 19 συνόδου et διαμέτρου transpond L

Οὗτος οὖν ὁ ψῆφος τότε ἵν' ᾗ ἀνεπισφαλὴς ἡνίκα τὸ αὐθημερινὸν τοῦ ἡλίου καὶ τῆς σελήνης ἐγένοντο τέλεια μετὰ τῆς ὀρθώσεως τῆς ἡμέρας. εἰ δὲ οὐκ ἐγένοντο τέλεια, κατ' ἐναντίον τοῦ αὐθημερινοῦ τοῦ ἡλίου γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον τῆς ὀρθώσεως τῶν ἡμερῶν, καὶ κρατεῖται ἡ ὄρθωσις τῆς ἡμέρας κατὰ τὰ α΄ καὶ τὰ β΄ λεπτὰ τῆς ὥρας. εἴ τι οὖν εὑρεθῇ,, ἐκεῖνο ἀεὶ εἰς τὴν ὥραν τῆς συνόδου ἢ τῆς διαμέτρου ἑνοῦται, καὶ γίνεται ἡ ὥρα τελεία.

| Διαίρεσις. Εἰ βουληθῶμεν τὸν ψῆφον τοῦτον λεπτότερον ποιῆσαι, γίνεται τὸ f139vL
αὐθημερινὸν τοῦ ἡλίου καὶ τῆς σελήνης εἰς ἐκείνην τὴν ὥραν ἡνίκα γίνεται ἡ σύνοδος ἢ ἡ διάμετρος. ἐὰν ὦσι κατὰ τὰς μοίρας καὶ τὰ λεπτὰ ἐξισούμενα καὶ ἀμφότερα ταῦτα, ἡ ὥρα ἐκείνη ὀρθή ἐστιν· εἰ δ' οὐκ ἐξισοῦνται, αὖθις τὸ μέσον τούτων μῆκος κρατεῖται, καὶ γίνεται ὡς ἐρρέθη εἰς τὸν α΄ ψῆφον ὅπως εὑρεθῇ ἡ ὥρα ὀρθή.

Διαίρεσις. Περὶ τῆς καταλήψεως τῆς μοίρας ἐκείνης ἐν ᾗ συνέρχονται ὁ ἥλιος καὶ ἡ σελήνη ἢ κατὰ σύνοδον ἢ κατὰ διάμετρον

Ἐκεῖνο τὸ μῆκος ὅπερ ἐκρατήθη μέσον τοῦ ἡλίου καὶ σελήνης τίθεται εἰς

---

3 οὐκ difficile visu v ‖ 6 κατὰ] ἤτοι Vv | πρῶτα Vv | δεύτερα Vv ‖ 7 ἡ om v ‖ 11 ἐκείνη difficile visu v ‖ 12 πρῶτον Vv ‖ 15 ἢ om L

$\overline{\beta}$ τόπους ἐν τῇ ταύλᾳ· τὸ ἓν τηρεῖται ἀσφαλῶς καὶ τὸ ἕτερον τηρεῖται εἰς τὰ $\overline{\varepsilon}$ λεπτά. εἴ τι οὖν εὑρεθῇ, ὄρθωσίς ἐστι τῆς μοίρας τοῦ ἡλίου. ἐκεῖνο τηρεῖται ἰδίᾳ, καὶ τοῦτο αὖθις ἑνοῦται τῷ τηρηθέντι | ἀσφαλῶς μήκει. εἴ τι f82rV
εὑρεθῇ, ὄρθωσίς ἐστι τῆς μοίρας τῆς σελήνης.

Ἔπειτα τὸ αὐθημερινὸν ἡλίου καὶ σελήνης – ἅτινα εὑρέθησαν εἰς τὸ μέσον ἐκείνης τῆς ἡμέρας – τίθενται εἰς τὴν ταῦλαν ἰδίᾳ καὶ ἰδίᾳ. καὶ ὑπὸ ταῦτα τίθεται ἑκατέρα ἡ ὄρθωσις. εἶτα τηρεῖται. ἐὰν τὸ αὐθημερινὸν τῆς σελήνης ἔλαττον τοῦ αὐθημερινοῦ τοῦ ἡλίου, ἡ ὄρθωσις τῆς μοίρας τῆς σελήνης ἑνοῦται τῷ ταύτης αὐθημερινῷ, καὶ ἡ ὄρθωσις ὡσαύτως τοῦ ἡλίου ἑνοῦται τῷ τούτου αὐθημερινῷ. ἐὰν δὲ τὸ αὐθημερινὸν τῆς σελήνης πλέον τοῦ αὐθημερινοῦ τοῦ ἡλίου, | ἑκατέρου ἡ ὄρθωσις ἀφαιρεῖται ἀπὸ τοῦ ἰδίου f140 rL
αὐθημερινοῦ.

Εἴ τι οὖν ἔπειτα καταλειφθῇ, τηρεῖται. ἐὰν ἐξισοῦνται καὶ ἀμφότερα κατὰ τὰς μοίρας καὶ τὰ λεπτά, ὁ ψῆφος τῆς σελήνης ὀρθός ἐστιν· εἰ δ' οὐκ ἐξισοῦνται, οὐκ ἔστιν ὀρθός. εἰ οὖν ὀρθός ἐστιν ὁ ψῆφος εἰς τὴν σύνοδον ἢ τὴν ἡμέραν ἢ τὴν νύκτα, ἡ μοῖρα ἐκείνη ἀεὶ μία ἐστίν· ἐκεῖνος ὁ ψῆφος γράφεται εἰς τὸ αὐθημερινόν. εἰ δ' ἐστὶ διάμετρος εἰς τὴν ἡμέραν ἡ μοῖρα τοῦ ἡλίου κρατεῖται, καὶ τὴν νύκτα ἡ μοῖρα τῆς σελήνης. εἰ γένηται χρεία ἐκβληθῆναι τὴν τύχην | τῆς συνόδου ἢ τῆς διαμέτρου, ὁ ψῆφος τοιοῦτος f302vv

1 δύο Vv ‖ 3 τηρηθέντι] ῥηθέντι Vv ‖ 6 ἐκείνης] ἐκεῖνο L ‖ 7 ἑκατέρα + Δ v | ἡ sup lin v ‖ 15 ὀρθός ἐστιν ὁ ψῆφος] ὁ ψῆφος ὀρθός ἐστιν Vv

οἷος ἐρρέθη πρότερον.

Ψῆφος β΄. Περὶ τοῦ ψήφου τῆς ἐκλείψεως τῆς σελήνης καὶ μετὰ τοῦ ψήφου καὶ διὰ τοῦ κανονίου. τοῦτο εἰς $\overline{\beta}$ διαιρεῖται κεφάλαια.

Κεφάλιον α΄. Περὶ τοῦ εἰδέναι ὅτι ἡ σελήνη μέλλει ἐκλιπεῖν ἢ οὔ, καὶ μετὰ τοῦ ψήφου. τοῦτο εἰς $\overline{\varepsilon}$ διαιρέσεις ἐτέθη.

| Διαίρεσις α΄. Ὅτι ἡ σελήνη ἐκλείψει ἢ οὔ f82vV

Ἐνταῦθά εἰσι τόσα ἃ ὀφείλουσι κρατηθῆναι. ἓν ἐκεῖνο, ὅτι ἡ διάμετρος ἡλίου καὶ σελήνης κατὰ νύκτα ὀφείλει εἶναι ἢ ἐγγὺς τῆς νυκτὸς οὕτως ὅτι $\overline{\beta}$ ὧραι ἢ ἔλαττον ἵν' ὦσι μέσον τῆς ἡμέρας καὶ τῆς νυκτὸς τῆς ἀρχῆς καὶ τῆς τελειώσεως ἡνίκα διαμετρεῖ ὁ ἥλιος τὴν σελήνην. β΄ δὲ ἐκεῖνο, ὅτι μέσον τῶν κόμπων καὶ τῶν μοιρῶν τῆς σελήνης ἔλαττον ὀφείλει εἶναι | τῶν $\overline{\iota\beta}$ μοιρῶν, ἢ f140vL τὸ πλάτος τῆς σελήνης εἴπερ ἐστὶν ἔλαττον τῶν $\overline{\xi\gamma}$ λεπτῶν ἢ εἰς τὸ βόρειον ἢ εἰς τὸ νότιον μέρος, ἡ σελήνη ἐκλείπει· εἰ δὲ πλέον τούτων, οὐκ ἐκλείπει. εἰ οὖν μέλλει ἐκλείψειν ἡ σελήνη, ἡ ὥρα τῆς συνόδου ἡ ὥρα τῆς μέσης ἐκλείψεως

3 δύο Vv ‖ 6 περὶ τῆς σελήνης ἐκλείψει ἤ οὔ Vv ‖ 7 κρατηθῆναι] ληφθῆναι Vv ‖ 8 δύο v ‖ 10 διαμετρεῖ] διαμετρῇ v | δεύτερον Vv | ἐκεῖνο om Vv

λέγεται.

Διαίρεσις β΄. Περὶ τοῦ εἰδέναι ὅτι ἡ σελήνη μέλλει ἐκλείψειν ἢ οὐ μετὰ τοῦ ψήφου

Ἐπεὶ χρεία μετὰ τοῦ ψήφου εἰπεῖν περὶ τῆς ἐκλείψεως τῆς σελήνης, ἡ διάμετρος τοῦ ἡλίου καὶ τῆς σελήνης καὶ τὸ σκίασμα — καὶ τὰ $\overline{\gamma}$ ἐκβάλλονται. ἔπειτα ἡ διάμετρος τοῦ ἡλίου ἑνοῦται τῇ διαμέτρῳ τῆς σελήνης. εἴ τι εὑρεθῇ, μερίζεται εἰς $\overline{\beta}$. τὸ καταλειφθὲν ἐκεῖνο ἥμισυ λέγεται τῶν $\overline{\beta}$ διαμέτρων. τοῦτο τηρεῖται. ἔπειτα τὸ πλάτος τῆς σελήνης κατὰ τὴν ὥραν τῆς διαμέτρου τηρεῖται. εἴπερ οὖν ἐστι τοῦτο ἐξισούμενον τούτῳ τῷ ἡμίσει τῶν $\overline{\beta}$ διαμέτρων ἢ πλέον, ἡ σελήνη οὐκ ἐκλείπει· εἰ δὲ ἔλαττον, ἐκλείπει.

Διαίρεσις γ΄. Περὶ τοῦ εἰδέναι ὅτι πόσον τῆς σελήνης μέλλει ἐκλιπεῖν, μέρος ταύτης ἢ ἅπασα, καὶ εἰ μέρος ταύτης μέλλει ἐκλιπεῖν πόσοι δάκτυλοι, καὶ εἰ ἐκλείψει πᾶσα μέλλει περὶ τὴν ἔκλειψιν ἀργῆσαι ἢ εὐθὺς πάλιν ἄρξασθαι πρὸς τὴν ταύτης ἐπαναστρέφειν ἀποκατάστασιν.

Ἀφαιρεῖται | τὸ πλάτος τῆς σελήνης ἀπὸ τῆς ἡμισείας τῶν $\overline{\beta}$ διαμέτρων. f83rV

---

4 ἐπεὶ . . . σελήνης om v ‖ 5 τρία Vv ‖ 7 δύο Vv | καταλειφθὲν] εὑρεθὲν L | ἐκεῖνο om Vv | δύο Vv ‖ 8–9 ἔπειτα . . . τῆς διαμέτρου τηρεῖται om Vv ‖ 9 δύο Vv ‖ 11 ἐκλειπεῖν v ‖ 13 πάλιν] πάλαι v | ἄρξασθαι] ἄρξηται L ‖ 14 ἐπαναστροφὴν καὶ Vv

εἴ τι καταλειφθῇ, ἐκεῖνα λεπτὰ λέγεται τῆς ἐκλείψεως. ἔπειτα τηρεῖται. ἐὰν τὰ λεπτὰ τῆς ἐκλείψεως τῆς σελήνης ἐξισοῦνται τῇ διαμέτρῳ τῆς σελήνης, | ἡ f141rL
σελήνη τελεία ἐκλείπει καὶ εὐθὺς ἐπαναστρέφεται.

Εἰ δὲ τὰ λεπτὰ τῆς ἐκλείψεως πλείονά εἰσι τῆς διαμέτρου τῆς σελήνης, ἡ
5 σελήνη πᾶσα ἐκλείπει καὶ ὀλίγην ὥραν ἵσταται εἰς τὴν ἔκλειψιν. εἰ δὲ τὰ λεπτὰ τῆς ἐκλείψεως ἐλάττονά εἰσι τῆς διαμέτρου τῆς σελήνης, ὀλίγον τῆς σελήνης ἐκλείπει.

Ἐπεὶ οὖν χρὴ εἰδέναι πόσον τῆς σελήνης ἐκλείψει, τὰ λεπτὰ τῆς ἐκλείψεως τῆς σελήνης τηροῦνται εἰς τὰ $\overline{\iota\beta}$. εἴ τι εὑρεθῇ, μερίζεται ἐκεῖνο εἰς τὴν
10 διάμετρον τῆς σελήνης. εἴ τι ἐξέλθῃ, δάκτυλοί εἰσι τῆς διαμέτρου τῆς σελήνης ἀπὸ τῶν $\overline{\iota\beta}$ δακτύλων τῆς διαμέτρου ταύτης.

Διαίρεσις δ΄. Περὶ τῆς ὥρας τῆς ἐκλείψεως τῆς σελήνης

Τὸ πλάτος τῆς σελήνης τηρεῖται αὖθις εἰς ἐκεῖνο. οἷον ἐὰν ᾖ τυχὸν $\overline{\kappa\varepsilon}$ τὸ πλάτος, ταῦτα τηροῦνται εἰς τὰ $\overline{\kappa\varepsilon}$ πάλιν, καὶ εὑρίσκεται τὸ τετράγωνον
15 τοῦ πλάτους τῆς σελήνης. | ἐκεῖνο ἀπὸ τοῦ πλάτους τῶν ἥμισυ διαμέτρων 303rv
ἀφαιρεῖται. εἴ τι καταλειφθῇ, ὁ πολυπλασιασμὸς τούτου κρατεῖται, καὶ τὸ εὑρεθὲν ἐκεῖνα λεπτὰ λέγονται τῆς ἐκλείψεως τῆς σελήνης. ταῦτα τηροῦνται εἰς τὰ $\overline{\kappa\delta}$, καὶ τὸ ἐξελθὸν μερίζεται εἰς τὴν τελείαν μετάβασιν τῆς σελήνης

1 λέγεται] λέγονται Vv

τὴν κατὰ τὸ νυχθήμερον. εἴ τι γένηται, ὥρα ἐστὶν ἥτις λέγεται ὥρα πεσοῦσα.

Εἶτα ἡ ὥρα τῆς | διαμέτρου τίθεται εἰς τρεῖς τόπους τῆς ταύλας. ἐκείνη f83vV
οὖν ἡ πεσοῦσα ὥρα ἀπὸ τῆς ὥρας τῆς διαμέτρου τῆς τεθείσης πρότερον ἐν τῇ ταύλᾳ ἀφαιρεῖται καὶ ἑνοῦται τῇ τεθείσῃ ἐν τῷ τρίτῳ τόπῳ. εἴ τι οὖν καταλειφθῇ, ἀπὸ τοῦ α΄ ἡ ὥρα τῆς ἀρχῆς τῆς ἐκλείψεως τῆς σελήνης. | εἴ τι f141vL
δὲ εὑρεθῇ, εἰς τὸν β΄ τόπον ἡ μέση ὥρα τῆς ἐκλείψεως τῆς σελήνης. τὸ δὲ γενόμενον εἰς τὸν γ΄ τόπον ἡ ὥρα τῆς τελείας ἀποκαταστάσεως τῆς σελήνης. οὗτος ὁ ψῆφος τότε γίνεται ἡνίκα ἐκλείπει μέρος τῆς σελήνης.

Διαίρεσις ε΄. Ὅταν ἐκλείπῃ ἡ σελήνη πᾶσα, ἡ διάμετρος τῆς σελήνης ἀπὸ τοῦ ἡμίσεος τῶν $\overline{\beta}$ διαμέτρων ἀφαιρεῖται. εἴ τι καταλειφθῇ, ἀπὸ τοῦ τετραγώνου ἐκείνου τὸ τετράγωνον τοῦ πλάτους τῆς σελήνης ἀφαιρεῖται, καὶ τοῦ καταλειφθέντος ὁ πολυπλασιασμὸς κρατεῖται, καὶ εὑρίσκονται τὰ λεπτὰ τῆς στάσεως. ἐκεῖνα τηροῦνται εἰς τὰ $\overline{\text{κδ}}$, καὶ τὸ γενόμενον μερίζεται εἰς τὴν τελείαν μετάβασιν τοῦ νυχθημέρου. εἴ τι οὖν ἔπειτα εὑρεθῇ, ὧραί εἰσι τῆς στάσεως. εἶτα ἡ ὥρα τῆς διαμέτρου εἰς $\overline{\varepsilon}$ τόπους τίθεται. καὶ ἡ πεσοῦσα ὥρα ἀπὸ τῆς α΄ μοίρας ἀφαιρεῖται καὶ τῇ ε΄ ἑνοῦται. καὶ αὖθις αἱ ὧραι τῆς στάσεως ἀπὸ τῆς β΄ μοίρας ἀφαιροῦνται καὶ τῇ δ΄ ἑνοῦται.

---

1 κατὰ τὸ νυχθήμερον] τοῦ νυχθημέρου Vv ‖ 5 πρώτου Vv 5–6 εἴ... σελήνης in marg v ‖ 6 δεύτερον V ‖ 7 τρίτον Vv ‖ 9 ἐκλίπῃ Vv ‖ 10 δύο V ‖ 11 σελήνης om v ‖ 16 πρώτης Vv | πέμπτῃ V ‖ 17 δευτέρας V | τετάρτῃ V

Ὁ α΄ οὖν τόπος ἀπὸ τῶν ε̅ γίνεται ἀρχὴ τῆς ἐκλείψεως τῆς σελήνης, ὁ β΄ ἡ ὥρα τῆς τελείας ἐκλείψεως, ὁ γ΄ ἡ ὥρα τῆς μέσης ἐκλείψεως, ὁ δ΄ ἡ ἀρχὴ τῆς ὥρας τῆς ἀποκαταστάσεως τῆς σελήνης, καὶ ὁ ε΄ τόπος ἡ τετελειωμένη ὥρα καθ' ἣν ἀποκαθίσταται ἡ σελήνη.| ἔπειτα αἱ πεσοῦσαι ὧραι διπλασιάζονται. f84rV
εἴ τι οὖν εὑρεθῇ, ὥρα ἐστὶν ἀπὸ τῆς ἀρχῆς τῆς ἐκλείψεως τῆς σελήνης μέχρι τῆς τελείας ἀποκαταστάσεως.

Κεφάλαιον β΄. Περὶ τῆς ἐκλείψεως τῆς σελήνης διὰ τῶν κανονίων

Τὸ πλάτος τῆς σελήνης ἐκβάλλεται | εἰς τὸν καιρὸν τῆς διαμέτρου ἡλίου f142rL
καὶ σελήνης καὶ φυλάττεται. ἔπειτα γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον τῆς μεταβάσεως ἡλίου καὶ σελήνης. καὶ κατ' ἐναντίον τοῦ πλάτους κρατοῦνται τὰ λεπτὰ τοῦ αὐθημερινοῦ καὶ τηροῦνται. εἶτα αὖθις γίνεται εἰσέλευσις κατ' ἐναντίον τοῦ εἰρημένου πλάτους τῆς σελήνης εἰς τὸ κανόνιον τῆς κρύψεως τῆς σελήνης εἰς τὸ πορρώτερον μῆκος εἰς τὰ γ̅ κανόνια, καὶ κρατοῦνται οἱ δάκτυλοι | τῆς πεσούσης ὥρας. ἐκείνη οὖν ἡ ὥρα τῆς στάσεως καὶ ἡ ὄρθωσις f303vv
ἑκάστου ἰδίᾳ καὶ ἰδίᾳ φυλάττονται. εἶτα ἡ ὄρθωσις ἑκάστου εἰς τὰ λεπτὰ τοῦ αὐθημερινοῦ τηρεῖται. εἴ τι εὑρεθῇ, ἑνοῦται εἰς ἕκαστον τῶν φυλαχθέντων ὀρθώσεων ἐκείνων ἰδίᾳ καὶ ἰδίᾳ. ὅπερ οὖν εὑρεθῇ γίνεται τέλειον.

1 πρῶτος Vv | δεύτερος V ‖ 2 τρίτος Vv | τέταρτος V ‖ 3 πέμπτος v ‖ 13 τρία Vv

Ἔπειτα τηροῦνται οἱ δάκτυλοι τῆς ἐκλείψεως. εἴπερ πλείονές εἰσι τῶν $\overline{\iota\beta}$, τελεία γίνεται ἔκλειψις τῆς σελήνης, καὶ πρὸς καιρὸν εἰς τὴν ἔκλειψιν ἵσταται. εἰ δὲ $\overline{\iota\beta}$ δάκτυλοί εἰσιν, ἡ σελήνη πᾶσα ἐκλείπει ἀλλ' οὐχ ἵσταται εἰς τὴν ἔκλειψιν. εἰ δὲ οἱ δάκτυλοι ἐλάττονες τῶν $\overline{\iota\beta}$ ἐκλείπει μέρος τῆς σελήνης ὅσον ἀναφανῇ εἰς τοὺς δακτύλους τῆς διαμέτρου.

Ἐκεῖνο τοίνυν χρὴ εἰδέναι πόσον ἐστὶν ἀπὸ τῆς σελήνης. γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον τῆς διαμέτρου τῆς σελήνης. καὶ κατ' ἐναντίον τῶν δακτύλων κρατεῖται ὁ ψῆφος τῶν δακτύλων τῆς | ἐπιφανείας τῆς σελήνης. f84vV
εἴ τι οὖν εὑρεθῇ, ἐκεῖ δάκτυλοί εἰσιν ἀπὸ τῆς ἐπιφανείας τῶν δακτύλων τῆς σελήνης πάσης.

Διαίρεσις. Περὶ τοῦ εἰδέναι τὸν καιρὸν τῆς ἐκλείψεως τῆς σελήνης

Οὕτως ἐστὶν ὡς ἐρρέθη | ἐν τῇ δ΄ καὶ ε΄ διαιρέσει τοῦ α΄ κεφαλαίου. f142vL

Διαίρεσις. Περὶ τοῦ καιροῦ τῆς ἐκλείψεως τῆς σελήνης εἴπερ μέρος ταύτης ἐκλείπει κατὰ τὴν νύκτα καὶ μέρος κατὰ τὴν ἡμέραν

Εἰ γίνεται ἡ ἔκλειψις κατὰ τὴν ἡμέραν, ἐὰν ἡ ὥρα τῆς ἐκλείψεως τῆς σελήνης ἀπὸ τῆς ἡμέρας πλείων ᾖ, ἡ ὥρα τῆς ἡμέρας ἀφαιρεῖται ἐξ ἐκείνης.

2–3 εἰς τὴν ἔκλειψιν ἵσταται] ἐκλείπουσα γίνεται L ‖ 3 πᾶσα post ἐκλείπει V ‖ 12 τετάρτῃ Vv | πέμπτῃ Vv | πρώτου Vv ‖ 13 ταύτης om L ‖ 15 γίνεται] γένηται L ‖ 16 ἀπὸ τῆς ἡμέρας πλείων ᾖ] ἡ ὥρα L

εἴ τι καταλειφθῇ, ἀπὸ τῆς νυκτός ἐστιν. εἰ δὲ ἡ ἔκλειψις πᾶσα γένηται κατὰ τὴν νύκτα, ἡ ὥρα τῆς νυκτὸς τῆς ἐκλείψεως πλείων ἐστὶν ἀπὸ τῆς ὥρας τῆς νυκτὸς ἥτις καὶ ἀφαιρεῖται ἐξ ἐκείνης. εἴ τι καταλειφθῇ, ὥρα ἐστὶν ἀπὸ τῆς ἡμέρας.

Ψῆφος γ΄. Περὶ τῆς ἐκλείψεως τοῦ ἡλίου. τοῦτο εἰς $\overline{\gamma}$ διαιρεῖται κεφάλαια.

Κεφάλαιον α΄. Περὶ τῆς καταλήψεως τοῦ καλλίστου καὶ ὡραίου κανονίου τῆς ἐκλείψεως τοῦ ἡλίου

Καὶ γὰρ ὁ ψῆφος τῆς ἐκλείψεως τοῦ ἡλίου μετὰ τοῦ κανονίου ὀφείλει γενέσθαι διὰ τὴν εὐκολίαν διότι ἐὰν γένηται ψηφοφορία κατὰ πολὺ αὕτη ἐκτέταται εἰς μῆκος, καὶ ἔστιν δυσκατάληπτος. ἡμεῖς δὲ τὸ κανόνιον τοῦτο κατὰ πολὺ τεθείκαμεν πρὸς σαφήνειαν. εἰς τοῦτο δὲ τρεῖς ψῆφοι ἐτέθησαν· ὁ α΄ ψῆφος – αἱ ὧραί εἰσι τοῦ μήκους πρὸ τοῦ μέσου τῆς ἡμέρας καὶ μετὰ τὸ μέσον τῆς ἡμέρας, ὁ β΄ – τὸ πλέον καὶ ἔλαττον τῆς ὄψεως εἰς τὸ μῆκος, καὶ ὁ γ΄ – τὸ πλέον καὶ ἔλαττον τῆς ὄψεως εἰς τὸ πλάτος. ἡ ποίησις οὖν τούτου τοῦ κανονίου εἰς τὰς $\overline{\gamma}$ πληροῦνται διαιρέσεις.

---

1 γένηται om v ‖ 5 τρίτος v | τρία v ‖ 13–14 εἰς τὸ μῆκος . . . τῆς ὄψεως in marg v ‖ 14 τρίτος v ‖ 15 τρεῖς Vv

| Διαίρεσις α΄. Περὶ τῆς ποιήσεως τοῦ κανονίου τοῦ πλείονος καὶ ἐλάττονος f85rV
| τῆς ὄ|ψεως μετὰ τοῦ πλάτους τῆς πόλεως ἧς τὸ κανόνιον ἐν τῇ τοιαύτῃ οὐκ f143rL, f304rv
ἔστι συντάξει.

Τὸ κανόνιον οὖν τοῦτο ἀπὸ $\overline{\beta}$ γίνεται κανονίων. ἓν ἐκεῖνο ἵνα τὸ πλάτος ἐκείνου ᾗ ἔλαττον τῆς πόλεως ταύτης, καὶ ἕτερον ἵν' ᾗ τὸ πλάτος πλέον. ὁ ψῆφος δὲ τούτου ἐρρέθη πρότερον εἰς τὸ β΄ κεφάλαιον τῆς θ΄ μοίρας. ἡμεῖς δὲ τοῦτο τὸ κανόνιον τεθείκαμεν εἰς τὸ πλάτος τῶν $\overline{\lambda\eta}$.

Διαίρεσις β΄. Περὶ τῆς ἐκβολῆς τοῦ πλείονος καὶ ἐλάττονος τῆς ὄψεως εἰς τὴν μοῖραν τοῦ ἡλίου καὶ τῆς σελήνης ἡνίκα γίνωνται κατὰ σύνοδον

Ἐκείνη οὖν ἡ μοῖρα ὅταν οὐκ ᾗ εἰς τὴν ἀρχὴν τοῦ ζῳδίου, ὁ ψῆφος μετὰ τῶν $\overline{\beta}$ ζῳδίων γίνεται. καὶ ὁ ψῆφος οὗτος ἐρρέθη ἐν τῇ θ΄ μοίρᾳ εἰς τὸ β΄ κεφάλαιον.

Διαίρεσις γ΄. Περὶ της ὀρθώσεως τοῦ πλείονος καὶ ἐλάττονος τῆς ὄψεως μετὰ τοῦ τόπου τῆς σελήνης ἤγουν μετὰ τῆς ἐν τῷ μικρῷ κύκλῳ ἰδίᾳ καὶ ἰδίᾳ ταύτης κινήσεως

2 –13 -ψέως μετὰ τοῦ πλάτους... τοῦ πλείονος καὶ ἐλάττονος τῆς ὄψεως in marg v ‖ 4 δύο Vv ‖ 5 ᾗ[1] om v ‖ 6 δεύτερον V | ἐνάτης V v ‖ 8 τῆς ἐκβολῆς om Vv ‖ 11 δύο Vv | ἐνάτῃ V | δεύτερον V ‖ 14 ἰδίᾳ[2]] ἰδίας V

Καὶ οὗτος ὁ ψῆφος ἐρρέθη εἰς τὸ β΄ κεφάλαιον τῆς θ΄ Μοίρας καθεξῆς τῶν ἄλλων.

Τοῦτο οὖν τὸ κανόνιον ἐποιήθη παρ' ἡμῶν ὅτι ἐξέλειπεν ὁ ἥλιος εἰς τὰς $\overline{\text{κε}}$ μοίρας τοῦ Λέοντος. οὗτος ὁ ψῆφος ἐγένετο μέσον τοῦ Λέοντος ξ καὶ τῆς Παρθένου ξ. ὁ ἥλιος δὲ μετὰ τὸ μέσον τῆς ἡμέρας ἐξέλειπεν. διὰ τοῦτο ἐγένετο καὶ τὸ κανόνιον μετὰ τὸ μέσον τῆς ἡμέρας ἐπεὶ οὐκ ἦν χρεία τοῦ πρὸ τοῦ μέσου τῆς ἡμέρας ψήφου τοῦ κανονίου ὥσπερ οὐδὲ τῆς ἐκλείψεως γενομένης πρὸ τοῦ μέσου | τῆς ἡμέρας ἦν χρεία τοῦ μετὰ τὸ μέσον τῆς f143vL ἡμέρας ψήφου τοῦ κανονίου. τὸ πλάτος οὖν τῆς πόλεως ἦν τόσον· $\overline{\text{λη}}$. ταῦτα ἐξεβλήθησαν ἀπὸ τῶν κανονίων τῶν $\overline{\beta}$ τούτων πλατῶν | $\overline{\text{λς}}$ $\overline{\text{μα}}$. εἴ τι ἐξῆλθεν, f85vV ἐτηρήθη εἰς τὰ λεπτὰ τοῦ πλείονος καὶ ἐλάττονος τοῦ ἰδίου. τὸ γοῦν ἐξελθὸν ἐτέθη ἐν τῷ τοιούτῳ κανονίῳ.

---

1 δεύτερον Vv | ἐνάτης Vv ‖ 3 ἐξέλιπεν v ‖ 10 δύο Vv

	prîton ™ke‹no ¹ ¢rc¾ toà Lšontoj kaˆ tÁj Parqšnou													deÚteron ™ke‹no[a] ke mo‹rai toà Lšontoj		tÔ plšon kaˆ œlatton tÁj Ôyewj toà „d…ou tÁj sel»nhj			
	ïrai[b]	di¦ t¾n ¢rc¾n toà Lšontoj						di¦ t¾n ¢rc¾n tÁj Parqšnou								ïrai	ærą‹on kanÒnion		tÕ ¼misu toà kanon…ou oÙk ™yhf…qh ™peid¾ ¹ œkleiyij prÒ toà mšsou tÁj ¹mšraj Ãn[g]
		l$[d]		ma		lh		l$		ma		lh		h[i]	l$[i]				
		mÁkoj[d]	pl£toj	mÁkoj	pl£toj	mÁkoj	pl£toj	mÁkoj	pl£toj	mÁkoj	pl£toj	mÁkoj	pl£toj	mÁkoj	pl£toj		mÁkoj	pl£toj	
prÒ toà mšsou tÁj ¹mšraj[g]	z[h]															z			
	$[h]															$			
	e[h]															e			
	d[h]															d			
	g[h]															g			
	b[h]															b			
	a[h]															a			
mšson tÁj ¹mšraj	ƀ	g	id	d	ih	g	ie	h	k	q	kg	h	ka	z	k	ƀ	h	kg	
metà mšsou tÁj ¹mšraj	a	h	i$	$	k	$	iz	b	kd	ƀ	kz	b	kq	g	kd	a	d	kh	
	b	iz	k	ie	kd	iz	ka	ib	kq	q	la	ia	l	ib	kh	b	id	lg	
	g	kd	kd	kb	kh	kd	ke	iq	lg	i$	l$	ih	ld	iq	lb	g	kb	lz	
	d	la	kh	kz	lb	l	kq	kd	lz	ka	lq	kg	lh	kd	l$	d	kh	mb	
	e	le	lg	l	le	lg	ld	kz	m	kd	mb	k$	ma	kz	m	e	la	mb	
	$	ld[c]	lz	la	lh[e]	lb	lg	kh	mb	kz	mg[f]	kz	mg	kh	mb	$	lg	mq	
	z	lg	m	kh	mb	la	m	kh	mg	kh	me	kh	md	kh	mg	z	ld	n	

a ™ke‹nou v | b not in v | c not in V | d these two rows reversed in v from column 3 to column 16 | e lb v | f md v | g this sentence not in L | h this row not in L | i not in L

Κεφάλαιον β΄. Περὶ τοῦ ψήφου τῆς ἐκλείψεως τοῦ ἡλίου καὶ διὰ τοῦ κανονίου τούτου καὶ διὰ τοῦ ψήφου. τοῦτο εἰς $\overline{\gamma}$ ἐτέθη διαιρέσεις.

Ἐπεὶ χρεία γενέσθαι τὴν μέθοδον ταύτην πρὸ τούτου, ἀεὶ γίνεται τὸ αὐθημερινὸν | τοῦ ἡλίου καὶ τῆς σελήνης καὶ τοῦ ἀναβιβάζοντος εἰς $\overline{\alpha}$ χρόνον, f304vv ἡμέραν παρ' ἡμέραν. ἔπειτα ἐκβάλλονται καὶ πᾶσαι αἱ σύνοδοι. εἶτα ζητεῖται | σύνοδος ὅτι συμβαίνει αὕτη κατὰ τὴν ἡμέραν ἢ ἐγγὺς τῆς ἡμέρας τοσοῦτον 144rL ἵν' ᾖ ἐξ ἐκείνου μέχρι τῆς ἡμέρας ἔλαττον τῆς μίας ὥρας.

Τὸ πλάτος οὖν τῆς σελήνης ἐκβάλλεται εἰς τὴν ὥραν τοῦ συνόδου. ἐὰν οὖν τὸ πλάτος | τῆς σελήνης νότιον, ἔλαττον ὀφείλει εἶναι τῶν $\overline{\lambda\epsilon}$ λεπτῶν· f86rV εἰ δὲ εἰς τὸ βόρειον, ἔλαττον ὀφείλει εἶναι τῶν $\overline{\rho\gamma}$ λεπτῶν. καὶ ἐν τούτῳ γίνεται ἡ ἔκλειψις. εἰ δ' ἐστὶ πλέον τούτων, ἔκλειψις οὐ γίνεται.

Πρῶτον τοίνυν πρὸ τοῦ εἰσελθεῖν εἰς τὸν ψῆφον τοῦτον δεῖ εἰπεῖν τίσι μεθόδοις χρῆσθαι χρή. πρῶτον δεῖ εἰδέναι τὴν σύνοδον ἐκείνην καθ' ἣν μέλλει

3 τρεῖς Vv ‖ 5 ἀεὶ om Vv ‖ 6 καὶ[1] om. Vv | ἕνα Vv ‖ 7 καὶ om. Vv ‖ 12 ὀφείλει εἶναι om. Vv ‖ 13 τούτων] τούτου Vv

γενέσθαι ἡ ἔκλειψις, εἶτα καὶ τὰς μέχρι τῆς συνόδου ὥρας, ἔπειτα κατὰ ποίαν μοῖραν γίνεται ἡ σύνοδος. καὶ τὸ αὐθημερινὸν τοῦ ἀναβιβάζοντος τηνικαῦτα καταλαμβάνεται. τούτων δὲ καταληφθέντων καταλαμβάνεται καὶ ἡ διάμετρος τοῦ ἡλίου καὶ ἡ μετάβασις τοῦ ἡλίου ὡσαύτως εἰς μίαν ὥραν. καὶ ἡ διάμετρος τῆς σελήνης καὶ αὕτη ἐκβάλλεται καὶ ἡ μετάβασις αὐτῆς εἰς τὴν μίαν ὥραν. ἔπειτα καὶ ἡ τελεία μετάβασις τῆς σελήνης εἰς μίαν ὥραν καταλαμβάνεται καὶ ἡ ὥρα τοῦ μέσου τῆς ἡμέρας.

Ταῦτα πάντα καταλαμβάνονται καὶ τηροῦνται. εἶτα καὶ ἡ τύχη τοῦ καιροῦ ἐκείνου ἡνίκα γίνεται ἡ σύνοδος ἡλίου καὶ σελήνης κρατεῖται. εἶτα τὸ ζῴδιον, αἱ μοῖραι καὶ τὰ λεπτὰ τῆς συνόδου ἡλίου καὶ σελήνης ἀφαιροῦνται ἀπὸ τῆς τύχης τοῦ καιροῦ. εἴ τι οὖν | καταλειφθῇ, μῆκός ἐστι τῶν μοιρῶν τῆς συνόδου. f144vL

Τοῦτο φυλάττεται. ἔπειτα τηρεῖται. ἐὰν τὸ μῆκος ἐκεῖνο $\overline{\rho}$ μοῖραι ὦσι, ἐκείνη ἡ ὥρα ἡ ἐκβληθεῖσα τῆς συνόδου ἡ μέση ὥρα ἐστὶ τῆς ἐκλείψεως. ἐκείνη δὲ ἡ μοῖρα καθ' ἣν ὁ ἥλιος συνοδεύει τῇ σελήνῃ ὁ τόπος ἐστὶ τῆς θεωρίας τῆς σελήνης. ἐνταῦθα δὲ οὐ χρεία ταύτης γενέσθαι τὴν ὥραν τῆς συνόδου ὀρθήν. ἐκεῖνο οὖν τὸ μῆκος εἴπερ ἐστὶ ἔλαττον τῶν $\overline{\rho}$ μοιρῶν, ἐκείνη ἡ μοῖρα καθ' ἣν ὁ ἥλιος συνοδεύει τῇ σελήνῃ εἰς τὸ μέρος τῆς ἀνατολῆς· εἰ δὲ | τὸ μῆκος πλέον τῶν $\overline{\rho}$, ἐκείνη ἡ μοῖρα τῆς συνόδου εἰς τὸ μέρος τῆς δύσεως. f86vV

Μέσον οὖν τῶν $\overline{\beta}$ τούτων ἐστὶ χρεία τῆς ὀρθώσεως τῆς ὥρας ἐκείνης ὅπερ

1 ἡ sup lin v ‖ 2 αὐθημερινὸν + δὲ L ‖ 9 ἡ σύνοδος sup lin v ‖ 19 δύο Vv | χρεία + μετὰ LVv

ἐστὶν εἰς $\overline{\gamma}$ διαιρέσεις.

Διαίρεσις α΄. Περὶ τῆς ὀρθώσεως τῆς ὥρας τῆς μέσης ἐκλείψεως

Ἐκεῖνο οὖν εἰς δύο τινά ἐστιν· ἓν μετὰ τοῦ ψήφου καὶ ἓν διὰ τοῦ κανονίου. τὸ γοῦν διὰ τοῦ ψήφου $\overline{\varepsilon}$ τινῶν δεῖται. ἓν ἐκεῖνο ἵνα καταλειφθῇ ἡ ὥρα τῆς συνόδου· ἀπ' ἐκείνης δὲ τῆς ὥρας ἡ τύχη ὀφείλει καταλειφθῆναι καὶ τὸ ι΄ οἴκημα καὶ ἡ ἀνάβασις τοῦ ί οἰκήματος. τοῦτο τηρεῖται. β΄ ἡ ἀνάβασις τῆς σελήνης καταλαμβάνεται. τρίτον τὸ πλέον καὶ ἔλαττον τῆς ὄψεως τοῦ ἡλίου καὶ τῆς σελήνης εἰς τὸν κύκλον τῆς ἀναβάσεως | γινώσκεται. ἔπειτα 305rv ἀφαιρεῖται τὸ πλέον καὶ ἔλαττον τῆς ὄψεως τοῦ ἡλίου ἀπὸ τῆς σελήνης. τὸ οὖν κατα|λειφθὲν κρατεῖται. δ΄ εἰς ἐκεῖνο ὅπως καταλειφθῇ ἡ γωνία τοῦ πλάτους f145rL καὶ τοῦ μήκους. τὸ ε΄ ἡ κατάληψις τοῦ πλείονος καὶ ἐλάττονος τῆς ὄψεως τῆς σελήνης εἰς τὸ μῆκος καὶ πλάτος. εἰς τοῦτον δὲ τὸν ψῆφον ἡμεῖς ἀπὸ τῶν $\overline{\varepsilon}$ τούτων οὐκ ἔσμεν ἐν χρείᾳ. οὗτοι δὲ οἱ $\overline{\varepsilon}$ ψῆφοι ἀνὰ τριῶν ὀφείλουσι μεθοδευθῆναι.

Ὁ ψῆφος τῆς ἐκλείψεως τοῦ ἡλίου διὰ τοῦ κανονίου. τηρεῖται ἡ ὥρα τῆς σονόδου καὶ ἡ ὥρα τοῦ μέσου τῆς ἡμέρας. ἐὰν οὖν ἐξισοῦνται καὶ αἱ $\overline{\beta}$ κατὰ τοὺς ψήφους, εἰς τὸ ὡραῖον κανόνιον κατ' ἐναντίον τοῦ μέσου τῆς ἡμέρας

---

1 τρεῖς Vv ‖ 3 οὖν om. v ‖ 4 πέντε Vv ‖ 6 δεύτερα v ‖ 7 τοῦ om. v ‖ 8 τῆς om. Vv ‖ 10 τέταρτον Vv ‖ 11 πέμπτον v ‖ 16 δύο V

γίνεται εἰσέλευσις, καὶ κρατεῖται τὸ πλέον καὶ ἔλαττον τῆς | ὄψεως εἰς τὸ f87rV
μῆκος. ἐὰν οὖν ἡ ὥρα τῆς συνόδου ἀπὸ τῆς ὥρας τοῦ μέσου τῆς ἡμέρας ἐλάττων, ἐκείνη ἀφαιρεῖται ἀπὸ τῆς ὥρας ταύτης. εἴ τι καταλειφθῇ, ἡ ὥρα τοῦ μήκους ἐστὶ πρὸ τοῦ μέσου τῆς ἡμέρας. εἰ δὲ ἡ ὥρα τῆς συνόδου πλείων τῆς ὥρας τοῦ μέσου τῆς ἡμέρας, ἡ ὥρα τοῦ μέσου τῆς ἡμέρας ἐξ ἐκείνης ἀφαιρεῖται. εἴ τι καταλειφθῇ, ἡ ὥρα τοῦ μήκους ἐστὶ μετὰ τὸ μέσον τῆς ἡμέρας.

Τοῦτο οὖν εἴτε πρὸ τοῦ μέσου εἴτε μετὰ τὸ μέσον τῆς ἡμέρας ἐστίν, ἡ ὥρα τοῦ πρώτου μήκους λέγεται. ἔπειτα κατ' ἐναντίον τῆς ὥρας ἐκείνης γίνεται εἰσέλευσις εἰς τὸ ὡραῖον κανόνιον, καὶ κρατεῖται τὸ πλέον καὶ ἔλαττον τῆς ὄψεως εἰς τὸ μῆκος, ὅπερ λέγεται πλέον καὶ ἔλαττον τῆς ὄψεως α΄.

Τοῦτο οὖν | τὸ πλέον καὶ ἔλαττον τῆς ὄψεως μερίζεται εἰς τὴν τελείαν f145vL
μετάβασιν τῆς σελήνης εἰς μίαν ὥραν. εἴ τι εὑρεθῇ, ἐκεῖνο ὥρα τοῦ πλείονος καὶ ἐλάττονος τῆς ὄψεως τοῦ α΄. αὕτη ἡ ὥρα μετὰ τῆς ὥρας τοῦ μήκους τοῦ α΄ ἀεὶ ἑνοῦται, καὶ ἡ ὥρα τοῦ β΄ μήκους εὑρίσκεται. ἔπειτα κατ' ἐναντίον τῆς ὥρας ταύτης τοῦ β΄ μήκους κρατεῖται τὸ πλέον καὶ ἔλαττον τῆς ὄψεως εἰς τὸ μῆκος, καὶ τοῦτο αὖθις εἰς τὴν τελείαν μετάβασιν τῆς σελήνης εἰς τὴν μίαν ὥραν μερίζεται. εἴ τι οὖν εὑρεθῇ, ὥρα ἐστὶ τοῦ πλείονος καὶ ἐλάττονος τῆς ὄψεως εἰς τὸ μῆκος τὸ β΄. καὶ αὕτη ἡ ὥρα μετὰ τῆς ὥρας ἐκείνης τοῦ

3 ἐκείνη + ἡ V ‖ 4 τῆς iter. v ‖ 11 πρώτον Vv ‖ 14 πρώτου Vv ‖ 15 πρώτος Vv | δευτέρου Vv ‖ 16 δευτέρου Vv ‖ 18 οὖ om. Vv ‖ 19 δεύτερον Vv

μέσου τῆς ἡμέρας ἑνοῦται. καὶ εἴ τι ἐξέλθῃ, ἐκεῖνο ὥρα ἐστὶ τοῦ γ΄ μήκους. καὶ αὖθις κατ' ἐναντίον τῆς ὥρας ταύτης γίνεται εἰσέλευσις εἰς τὸ ὡραῖον κανόνιον.

Καὶ γίνεται ὁ ψῆφος πολλάκις οὕτως | καὶ τετράκις καὶ ἑξάκις μέχρι ἂν f87vV
τὰ $\overline{\beta}$ πλείονα καὶ ἐλάττονα τῆς ὄψεως, ἅπερ ἐκρατήθησαν, ἐξισωθῶσι κατὰ τοὺς ψήφους. ἐκεῖνο οὖν τὸ πλέον καὶ ἔλαττον τῆς ὄψεως τὸ ὕστερον τέλειόν ἐστιν, καὶ ἐκείνη ἡ ὥρα τοῦ ὑστέρου μήκους τελεία. ἔπειτα τηρεῖται ἡ μοῖρα ἐκείνη ἡνίκα γίνεται ὁ ἥλιος κατὰ σύνοδον τῆς σελήνης. ἐὰν ᾖ εἰς τὸ μέρος τῆς ἀνατολῆς, τοῦτο τὸ πλέον καὶ ἔλαττον | τῆς ὄψεως τοῦ μήκους ὅπερ f305vv
ἐξῆλθεν ὕστερον ἀφαιρεῖται | ἀπὸ τῆς μοίρας ἐκείνης· εἰ δὲ εἰς τὸ μέρος τῆς f146rL
δύσεως, ἑνοῦται ἐκείνῃ. εἴ τι οὖν εὑρεθῇ, τόπος ἐστὶ τῆς θεωρίας τῆς σελήνης εἰς τὸ μέσον τῆς ἐκλείψεως. ἔπειτα ἐὰν ἡ μοῖρα ἐκείνη εἰς τὸ μέρος ᾖ τῆς ἀνατολῆς, ἐκείνη ἡ ὥρα τοῦ τελείου μήκους ἀφαιρεῖται ἀπὸ τῆς ὥρας τοῦ μέσου τῆς ἡμέρας· εἰ δὲ πρὸς τὸ μέρος τῆς δύσεως, ἑνοῦται ταύτῃ. εἴ τι εὑρεθῇ, ὥρα ἐστὶ τῆς μέσης ἐκλείψεως.

Διαίρεσις β΄. Περὶ τοῦ εἰδέναι εἰ γένηται ἔκλειψις ἢ οὔ, καὶ εἰ γένηται πόση μέλλει εἶναι

Ἐπεὶ βουλόμεθα ποιῆσαι τὸν ψῆφον τοῦτον, τὸ αὐθημερινὸν τοῦ κατα-

1 τρίτου Vv ‖ 4 δ΄ L, τετετράκις V ‖ 5 δύο Vv ‖ 12 ᾖ post ἀνατολῆς v ‖ 16 δευτέρα v

βιβάζοντος ἐκ τοῦ τόπου τῆς θεωρίας τῆς σελήνης ἀφαιρεῖται ἀεί, καὶ ἐξέρχεται ἡ μοῖρα τοῦ πλάτους τῆς σελήνης. κατ' ἐναντίον οὖν τῆς μοίρας τοῦ πλάτους τούτου τῆς σελήνης γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον, καὶ κρατεῖται τὸ πλάτος τῆς σελήνης. καὶ ἐκεῖνο πλάτος λέγεται τέλειον.

Εἶτα τηρεῖται εἰ βόρειόν ἐστι ἢ νότιον. ἐκεῖνο φυλάττεται. ἔπειτα κατ' ἐναντίον τῆς ὥρας ἐκείνης τοῦ τελείου μήκους γίνεται εἰσέλευσις εἰς τὸ ὡραῖον κανόνιον, καὶ τὸ πλέον καὶ ἔλαττον τῆς ὄψεως τοῦ πλάτους κρατεῖται καὶ φυλάττεται. ἔπειτα τηρεῖται εἰ βόρειον ἢ νότιον. ἐὰν οὖν τὸ τέλειον πλάτος τῆς σελήνης μετὰ τοῦ πλείονος καὶ ἐλάττονος τούτου τῆς ὄψεως τοῦ πλάτους βόρεια | ἢ νότια, ἑνοῦνται καὶ τὰ $\overline{\beta}$. εἰ δὲ τὸ ἓν βόρειον καὶ τὸ ἕτερον f146vL
νότιον, τὸ ἔλαττον ἀφαιρεῖται τοῦ πλείονος. εἴ τι καταλειφθῇ, πλάτος ἐστὶ τῆς σελήνης στερεόν. τοῦτο τηρεῖται. ἔπειτα ἡ | διάμετρος τοῦ ἡλίου ἑνοῦται f88rV
τῇ διαμέτρῳ τῆς σελήνης, καὶ τὸ εὑρεθὲν μερίζεται εἰς $\overline{\beta}$. εἴ τι εὑρεθῇ, ἐκεῖνο ἥμισυ λέγεται τῶν $\overline{\beta}$ διαμέτρων. τοῦτο τίθεται εἰς τὴν ταῦλαν. καὶ ἐκεῖνο τὸ στερεὸν πλάτος τῆς σελήνης πλησίον τούτου τίθεται καὶ τηρεῖται. ἐὰν τὸ στερεὸν πλάτος ἐξισοῦται τῷ ἡμίσει τῶν $\overline{\beta}$ διαμέτρων ἢ πλέον τούτου, ἔκλειψις οὐ γίνεται· εἰ δ' ἔλαττον, ἐκλείπει.

Ἔπειτα εἰ γένηται χρεία εἰδέναι πόσον ἐκλείψει τοῦ ἡλίου, τὸ στερεὸν ἐκεῖνο πλάτος ἀπὸ τοῦ ἡμίσεος τῶν $\overline{\beta}$ διαμέτρων ἀφαιρεῖται. εἴ τι καταλειφθῇ,

2–4 κατ' ... σελήνης om Vv ‖ 5–8 ἐκεῖνο ... νότιον om. Vv ‖ 10 δύο V ‖ 13 δύο Vv | εὑρεθῇ] ἐξέλθῃ Vv ‖ 14 δύο V ‖ 16 δύο V ‖ 19 δύο V

ἐκεῖνο λεπτὰ λέγονται τῆς ἐκλείψεως. εἶτα τηρεῖται. ἐὰν τὰ λεπτὰ ταῦτα τῆς ἐκλείψεως ἐξισοῦνται τῷ ἡμίσει τῶν $\overline{\beta}$ διαμέτρων, τελεία γίνεται ἔκλειψις τοῦ ἡλίου· εἰ δ' ἐλάττονα τὰ λεπτὰ τῆς ἐκλείψεως τοῦ ἡμίσεος τῶν $\overline{\beta}$ διαμέτρων, μέρος ἐκλείπει τοῦ ἡλίου.

Ἔπειτα τηρεῖται ἡ τελεία ἐκείνη ἔκλειψις μετὰ τῆς διαμέτρου ἡλίου καὶ σελήνης. ἐὰν οὖν καὶ αἱ $\overline{\beta}$ διάμετροι ἴσαι, ὁ ἥλιος τέλειον ἐκλείψει καὶ οὐ βραδύνει ἐν τῇ ἐκλείψει. εἰ δὲ ἡ διάμετρος τῆς σελήνης πλείων, ὁ ἥλιος ὅλος ἐκλείψει καὶ καιρὸν ἱκανὸν σταθήσεται ἐν τῇ ἐκλείψει. εἰ δὲ ἡ διάμετρος τοῦ ἡλίου πλείων, τὸ μέσον τοῦ ἡλίου ἐκλείψει, ἡ δὲ περιφέρεια | οὐκ ἐκλείψει. f147rL

Εἶτα τηρεῖται ἡ ἔκλειψις ἐκείνη ἡ κατὰ μέρος γινομένη καὶ οὐχὶ τελεία πόσοι δάκτυλοί εἰσιν ἀπὸ τῆς διαμέτρου τοῦ ἡλίου μετὰ τοῦ ψήφου ἐκείνου, τῆς τελείας διαμέτρου τοῦ ἡλίου $\overline{\iota\beta}$ δακτύλων οὔσης. ἐπεὶ οὖν χρεία γενέσθαι τὸν ψῆφον τοῦτον, τὰ λεπτὰ ἐκεῖνα τῆς ἐκλείψεως τὰ εὑρεθέντα πρὸ τούτου τηροῦνται | εἰς τὰ $\overline{\iota\beta}$. εἴ τι εὑρεθῇ, ἐκεῖνο εἰς τὴν διάμετρον τοῦ ἡλίου f88vV
μερίζεται, καὶ εὑρίσκονται οἱ δάκτυλοι τῆς ἐκλείψεως ἀπὸ τῆς διαμέτρου τοῦ ἡλίου.

Διαίρεσις. Περὶ ἐκείνου ὅτι ἀπὸ τοῦ ἡλίου πόσον ἐκλείψει καὶ τῆς καταλήψεως τοῦ καιροῦ διὰ τοῦ κανονίου

2 δύο V ‖ 3 δύο Vv ‖ 6 δύο V

| Ὅταν ἡ ὥρα τῆς μέσης ἐκλείψεως ἐκβληθῇ μετὰ τοῦ στερεοῦ πλάτους f306rv
τῆς σελήνης, ἔπειτα κατ' ἐναντίον τοῦ ἰδίου τῆς σελήνης ἢ τῆς μεταβάσεως
ἐκείνης γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον τῆς μεταβάσεως ἡλίου καὶ σελήνης,
καὶ τὰ λεπτὰ τοῦ αὐθημερινοῦ κρατοῦνται ἐκεῖθεν καὶ φυλάττονται. ἔπειτα
5 κατ' ἐναντίον τοῦ στερεοῦ πλάτους τῆς σελήνης γίνεται εἰσέλευσις εἰς τὸ
κανόνιον τῆς ἐκλείψεως τοῦ ἡλίου, καὶ κρατοῦνται οἱ δάκτυλοι καὶ ὄρθωσις
ἐκείνων καὶ ἡ πεσοῦσα ὥρα μετὰ τῆς ὀρθώσεως ταύτης. καὶ τηρεῖται ἕκαστον
ἰδίᾳ καὶ ἰδίᾳ. ἔπειτα τὰ λεπτὰ τοῦ αὐθημερινοῦ τηροῦνται εἰς τὴν ὄρθωσιν
ἑκάστου. καὶ εἴ τι ἐξέλθῃ, παρ' ἕνα βαθμὸν ἔλαττον κρατεῖται. καὶ ἐκεῖνο
10 ἀεὶ ἑνοῦται εἰς ἐκεῖνα εἰς τοὺς δακτύλους καὶ εἰς τὴν ὥραν, καὶ γίνονται οἱ
δάκτυλοι τέλειοι καὶ ἡ | πεσοῦσα ὥρα τελεία. f147vL

Εἶτα τηρεῖται. ἐὰν οἱ δάκτυλοι ἐκεῖνοι $\overline{\iota\beta}$ ἢ πλείονες, ὁ ἥλιος ὅλος ἐκλείψει·
εἰ δὲ ἔλαττον τῶν $\overline{\iota\beta}$, ὅλος οὐκ ἐκλείψει. τηρεῖται οὖν πόσον ἀπὸ τῶν $\overline{\iota\beta}$
δακτύλων ἐκλείψει. εἶτα ἐξ ἐκείνου γίνεται ὁ ψῆφος. καὶ οὗτοι οἱ δάκτυλοι
15 διάμετρος τοῦ ἡλίου γίνονται.

Εἰ οὖν χρεία καταλειφθῆναι τοὺς δακτύλους τῆς ἐπιφανείας τοῦ ἡλίου κατ'
ἐναντίον τῶν δακτύλων τῆς διαμέτρου τοῦ ἡλίου, γίνεται εἰσέλευσις εἰς τὸ
κανόνιον, καὶ κρατεῖται ὁ εὑρεθεὶς ψῆφος τῆς ἐπιφανείας τῶν δακτύλων τοῦ
ἡλίου. καὶ τοῦτό ἐστιν οἱ δάκτυλοι | τῆς ἐκλείψεως. ἐπεὶ οὖν ἡ πεσοῦσα ὥρα f89rV

12 πλείονες] πλέον δὲ v ‖ 13 εἰ δὲ... οὐκ ἐκλείψει in marg v ‖ 16 καταλειφθῆναι χρεία Vv

ἡ τελεία ἐγένετο δήλη, ἡ ὥρα τῆς μέσης ἐκλείψεως εἰς $\overline{\gamma}$ τόπους τίθεται ἐν τῇ ταύλᾳ. καὶ ἡ πεσοῦσα ὥρα ἀπὸ τοῦ α΄ ἀφαιρεῖται καὶ τῷ τρίτῳ ἑνοῦται, καὶ εὑρίσκονται οἱ καιροὶ τῆς ἐκλείψεως ὡς ἐρρέθη πρὸ τούτου.

---

1 τρεῖς Vv ‖ 2 πρώτου Vv

Μοιρα ια΄. Περὶ τῆς καταλήψεως ἐκείνης ὅτι ἡ σελήνη πότε ἵνα φανῇ νέα ὡσαύτως καὶ οἱ ἀστέρες πότε ἵνα φανῶσι μετὰ τὴν σύνοδον τοῦ ἡλίου

Ἐκεῖνο τοίνυν ῥηθήσεται περὶ τῆς σελήνης ὃ θεωρεῖται παρ' ἡμῶν. καὶ ὁ ψῆφος δὲ οὗτος λίαν ἐστὶ δυσχερὴς διὰ τοῦτο ὅτι οἱ ἀρχαῖοι ἐκεῖνοι περὶ τούτου οὐκ εἶπόν τι. διὰ τί οὖν οὐκ εἶπόν τι; δι' ἐκεῖνο ὅτι ἡ ἀρχὴ τῶν μηνῶν ἀπὸ τῆς σελήνης ἀπὸ τοῦ καιροῦ ἐκρατεῖτο ἐκείνου παρ' αὐτοῖς | ἡνίκα f148rL μετὰ σύνοδον ἐγένετο ἡ διάστασις τῆς σελήνης ἀπὸ τοῦ ἡλίου. ἐπεὶ οὖν χρεία ἦν τῶν Περσῶν εἰς τοῦτο διὰ τὴν νηστείαν καὶ τὰ πάσχα καὶ τὰς μεγάλας τούτων ἡμέρας, αὗται δὲ αἱ μεγάλαι τούτων ἡμέραι διὰ τῆς θεωρίας τῆς σελήνης νέας γίνονται δῆλαι, ἡμεῖς τοίνυν τεθείκαμεν ἐν τῇ βίβλῳ ταύτῃ ὅπερ οἱ ἀστρονόμοι ἐκεῖνοι ἐν ταῖς βίβλοις τούτων τεθείκασιν. καὶ μετὰ τοῦ ψήφου καὶ διὰ τοῦ κανονίου καὶ ἄλλα τινὰ ὧν ἦν τούτοις χρεία, οὐκ ἀπ' ἐκείνων τῶν ψήφων ὧν ἴσως ὑπολάβοι ἄν τις οὐ δυσχερῶν, ἀλλ' ἐξ ἐκείνων τῶν ψήφων οὐχὶ τῶν δοκούντων ἀποτροπαίων τῆς πίστεως, ἀλλὰ τῶν κατὰ πολὺ λυσιτελούντων εἰς τὴν ταύτην. δυσχερὲς οὖν εὑρεθῆναι τοιοῦτον ψῆφον ἐν ταῖς βίβλοις τῶν ἄλλων διὰ τὸ ὕψος | τούτου. f306vv

Καὶ ὡς ἐτέθη δὲ | οὗτος ὁ ψῆφος εἰς τὸ βιβλίον τοῦτο ἐν ἄλλῳ οὐκ ἄν f89vV τις εὕροι. διὰ τί οὖν ἔγωγε τοιοῦτον ψῆφον θαυμάσιον ἐν τούτῳ τέθηκα τῷ βιβλίῳ; δι' ἐκεῖνο ὅτι οἱ μῆνες τῆς σελήνης παρὰ τῶν Περσῶν διὰ τῆς θεωρίας

1 ἑνδεκάτη Vv ‖ 5 διὰ ... ὅτι] διὰ τί. διότι Vv ‖ 7 διάστασις] διάβασις cum ςτα sup β v ‖ 8 νηστείαν + τούτων Vv

τῆς σελήνης φανείσης νέας κρατοῦνται, οὐχὶ διὰ τοῦ μέσου ψήφου. οἷος οὖν βούλεται ὠφεληθῆναι ἀπὸ τούτου τοῦ ψήφου ὀφείλει εἰδέναι | ὅτι πάντων τῶν f148vL ἀνθρώπων ἡ ὄψις οὐχ ἡ αὐτή, καὶ σελήνη νέα εἰς τὸν αὐτὸν ἀεὶ τόπον οὐ φαίνεται, καὶ κατὰ πᾶσαν δὲ πόλιν ἄλλως θεωρεῖται καὶ ἄλλως. ἐκεῖνος οὖν ὁ ζητῶν περὶ τῆς θεωρίας τῆς σελήνης νέας ἐὰν οὐκ ἐπίσταται ζητῆσαι τοῦτο καὶ πόθεν, πάντως ἀπολιμπάνεται κενός, καὶ ἐπὶ τοσοῦτον δὲ μοχθήσῃ ἂν πρὸς τὸν οὐρανὸν διὰ τῆς ὄψεως ὥστε ἀμβλυωπῆσαι τοῦτον περὶ τὴν ὄψιν ὥστε καὶ τῆς σελήνης φανείσης παρὰ πάντων μὴ δυνηθῆναι ἔπειτα τοῦτον ταύτην θεάσασθαι ἔστ' ἂν δύνῃ. ὅσον οὖν ἄρα καὶ ἔστιν ὁ ἄνθρωπος συνετός, μετὰ τοῦ ψήφου τούτου καὶ τῆς καταλήψεως τῆς ἀναβάσεως τῆς σελήνης εἰς τὸν καιρὸν τῆς θεωρίας ταύτης καὶ τοῦ σημείου ἐκείνης εἰς τὸν οὐρανὸν φανερωθήσεται εἰς ἕνα τόπον αὐτῷ εὐθὺς ἀναβλέψαντι εἰς τὸν οὐρανόν. ἡ μέθοδος δὲ τῆς τέχνης ταύτης εἰς ε̅ διαιρεῖται κεφάλαια.

Κεφάλαιον α΄. Περὶ τῶν ψήφων ἐκείνων ὧν χρεία εἰς τὸν ψῆφον τοῦτον. τοῦτο τὸ κεφάλαιον εἰς ὄκτω διαιρεῖται .

---

9 ἔστ' Vv ‖ 12 αὐτῷ εὐθὺς ἀναβλέψαντι] ἅμα τοῦ ἀναβλέψαι τοῦτον L

Διαίρεσις α΄. Εἰς τὴν κατάληψιν τοῦ αὐθημερινοῦ τοῦ ἡλίου καὶ τῆς σελήνης εἰς ἐκεῖνον τὸ καιρὸν ὅτι ἡ μοῖρα τοῦ | αὐθημερινοῦ τῆς σελήνης f90rV κατέρχεται δύνουσα

Καὶ ὁ ψῆφος δὲ οὕτως ἐστὶν | ὅτι ἡ μετάβασις τῆς σελήνης εἰς μίαν ὥραν f149rL καταλαμβάνεται καὶ ἀφαιρεῖται ἀπὸ τῶν $\overline{\text{ιε}}$. εἴ τι καταλειφθῇ, ἐκεῖνο ταχεῖα κίνησίς ἐστι τῆς ὥρας ἐκείνης. τοῦτο τηρεῖται. ἔπειτα τὸ αὐθημερινὸν τοῦ ἡλίου καὶ τῆς σελήνης εἰς τὸ μέσον τῆς κθ΄ ἡμέρας εἰς τὸν μῆνα τῶν Ἀράβων καταλαμβάνεται.

Εἶτα κατ' ἐναντίον ἑκάστου αὐθημερινοῦ γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον τοῦ τόπου τῆς τύχης μετὰ εὐθείας γραμμῆς, καὶ κρατεῖται ὁ εὑρεθεὶς ψῆφος τοῦ τόπου τῆς τύχης ἑκάστου μετὰ τῆς εὐθείας γραμμῆς. εἶτα ἡ περισσεία ἑκάστου τόπου τῆς τύχης τηρεῖται καὶ ἑνοῦται τῷ ἡμίσει τόξῳ τῆς ἡμέρας. εἴ τι οὖν εὑρεθῇ, ἐκεῖνο μερίζεται εἰς τὴν ταχεῖαν κίνησιν. εἴ τι ἐξέλθῃ, ὥρα ἐστὶ μέσον τῆς ἡμέρας ἐκείνης καὶ μέσον τῆς καταβάσεως τῆς μοίρας τῆς σελήνης.

Εἶτα ἡ μετάβασις τοῦ ἡλίου καὶ τῆς σελήνης εἰς μίαν ὥραν ζητεῖται, καὶ αὕτη ἑκάστη εἰς τὰς ὥρας ἐκείνας τηρεῖται τοῦ μέσου τῆς ἡμέρας καὶ τῆς καταβάσεως. εἴ τι οὖν εὑρεθῇ ἀπὸ τῆς μεταβάσεως ἑκάστου ἑνοῦται τῷ αὐθημερινῷ ἑκάστου εἰς τὸ ἥμισυ τῆς ἡμέρας. εἴ τι εὑρεθῇ, αὐθημερινὸν

γίνεται τοῦ ἡλίου καὶ τῆς σελήνης εἰς ἐκείνην τὴν ὥραν ὅτι ἡ μοῖρα τῆς σελήνης κατέρχεται. καὶ τὸ αὐθημερινὸν δὲ τοῦ καταβιβάζοντος εἰς ἐκείνην τὴν ὥραν ἐκβάλλεται. ἔπειτα χρείας οὔσης εἰδέναι τὸ αὐθημερινὸν τῆς σελήνης |εἰς τὸν καιρὸν|τῆς καταβάσεως τοῦ ἡλίου, ἡ ὥρα τοῦ μέσου τῆς f307rv, f149vL
ἡμέρας εἰς τὴν μετάβασιν τῆς σελήνης εἰς τὴν μίαν ὥραν τηρεῖται. εἴ τι εὑρεθῇ, εἰς τὸ αὐθημερινὸν τῆς σελήνης τοῦ μέσου τῆς ἡμέρας ἐνοῦται, καὶ εὑρίσκεται τὸ |αὐθημερινὸν τῆς σελήνης εἰς τὴν ὥραν ὅταν κατέρχηται. f90vV

Διαίρεσις β΄. Περὶ τῆς ἀσφαλοῦς ὀρθώσεως τοῦ τόπου τῆς σελήνης εἰς τὸ πλέον καὶ ἔλαττον τῆς ὄψεως εἰς τὸ μῆκος καὶ πλάτος

Τόπος δὲ τῆς σελήνης ἐκεῖνος ὅταν κατέρχηται πρὸς δύσιν· οὗτος οὖν ὀρθοῦται. ἡ μέθοδος δὲ αὕτη εὔληπτος ἀπὸ τῶν κανονίων τοῦ πλείονος καὶ ἐλάττονος τῆς ὄψεως γινομένη μετὰ τῶν λεπτῶν ἐκείνων τοῦ αὐθημερινοῦ τῶν ἐν τῷ κανονίῳ τῆς μεταβάσεως ἡλίου καὶ σελήνης καθὼς ἐρρέθη πρότερον εἰς τὴν θ΄ Μοῖραν.

Διαίρεσις γ΄. Περὶ τῆς ἀσφαλοῦς ὀρθώσεως τοῦ τόπου τῆς σελήνης μετὰ τῆς ὀρθώσεως τῆς ἡμέρας

1–3 ὅτι ... ὥραν om. v ‖ 8 τῆς ἀσφαλοῦς ὀρθώσεως] τοῦ ἀσφαλοῦς ὀρθώματος L

Κατ' ἐναντίον τῆς μοίρας τοῦ ἡλίου γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον τῆς ὀρθώσεως τῆς ἡμέρας, καὶ τὰ λεπτὰ κρατοῦνται τῆς ὥρας. ἔπειτα εἴ τι εὑρεθῇ, κατ' ἐναντίον τούτου γίνεται εἰσέλευσις εἰς τὸ ὑπὸ τοὺς μῆνας κανόνιον τῶν ὡρῶν, καὶ κρατεῖται ἡ μέση κίνησις. καὶ αὕτη ἀφαιρεῖται ἀπὸ τοῦ αὐθημερινοῦ τῆς σελήνης, καὶ γίνεται τοῦτο τέλειον.

Διαίρεσις δ΄. Περὶ τῆς μοίρας ἐκείνης ἥτις κατέρχεται μετὰ τῆς σελήνης

Τηρεῖται. ἐὰν ἡ τραχηλαῖα | πλάτος οὐκ ἔχῃ, μετὰ τῆς μοίρας ἐκείνης f150rL
ἅμα τοῦ αὐθημερινοῦ κατέρχεται· εἴ δ' ἔχει πλάτος ἀσφαλές, ἡ τραχηλαῖα ἐκείνου κρατεῖται. καὶ ἐκεῖνο εἰς τὴν τραχηλαῖαν τῆς ἀναβάσεως τοῦ τόπου τῶν ἄκρων | τηρεῖται. εἴ τι εὑρεθῇ, ἐκεῖνο μερίζεται εἰς τὴν τραχηλαῖαν τὴν f91rV
τετελειωμένην τῆς ἀναβάσεως τοῦ τόπου τῶν ἄκρων. εἴ τι εὑρεθῇ, τραχηλαῖά ἐστιν.

Τὸ τόξον ταύτης κρατεῖται. εἴ τι εὑρεθῇ, ὄρθωσίς ἐστιν. ἐκεῖνο τηρεῖται. εἰ οὖν χρεία γένηται διὰ μιᾶς μεθόδου γενέσθαι τὸν ψῆφον τοῦτον εὐκαταληπτότερον, ἐκείνη ἡ μοῖρα τῆς σελήνης ἥτις εὑρέθη εἰς τὴν μετάβασιν τῆς σελήνης ζητεῖται εἰς τὸ κανόνιον τοῦ πλείονος καὶ ἐλάττονος τοῦ τόπου τῆς τύχης εἰς τὸ γ΄ κλίμα. κατ' ἐναντίον οὖν ἐκείνης, ἤγουν τῶν ἐκεῖσε

---

8 ἅμα post ἔχῃ L | κατέρχεται τοῦ αὐθημερινοῦ Vv ‖ 14 γένηται χρεία L | διὰ μιᾶς add et cancell v ‖ 17 τρίτον Vv

ζῳδίων, γίνεται εἰσέλευσις εἰς τὸ κλίμα ὃ βουλόμεθα καὶ εἰς ὃ ἡ πόλις ἡμῶν ἐστιν ἐγγυτέρα, καὶ κρατεῖται ὁ εὑρεθεὶς ψῆφος ἐκεῖ ἀπὸ μοιρῶν καὶ λεπτῶν. καὶ ἐκεῖνο τὸ εὑρεθὲν τηρεῖται εἰς τὸ στερεὸν πλάτος τῆς σελήνης. εἴ τι οὖν εὑρεθῇ, ὄρθωσίς ἐστιν.

Ἔπειτα τηρεῖται τὸ στερεὸν ἐκεῖνο πλάτος. ἐὰν ᾖ βόρειον, ἡ ὄρθωσις ἑνοῦται τῷ τόπῳ τῆς σελήνης· εἰ δὲ νότιον, ἀφαιρεῖται ἐξ ἐκείνου. εἴ τι εὑρεθῇ, ἐκεῖνο μοῖρά ἐστιν ἡ κατερχομένη μετὰ τῆς σελήνης. καὶ εἰ γίνεται ψῆφος | διὰ τὴν μοῖραν ἐκείνην τὴν μετὰ τῆς σελήνης κατερχομένην, f150vL ἀντεστραμμένως τῷ ψήφῳ τούτῳ γίνεται, ἤγουν ἔνθα ἐγένετο ἀφαίρεσις ἐνταῦθα ἕνωσις διὰ τῆς ὀρθώσεως, καὶ ἔνθα ἕνωσις ἐνταῦθα ἀφαίρεσις.

Διαίρεσις ε΄. Περὶ τοῦ τόξου τοῦ φωτός

| Τὸ στερεὸν πλάτος τῆς σελήνης γίνεται τετράγωνον, ἤγουν τηρεῖται εἰς f307vv ἑαυτό, καὶ ἐκεῖνο | μετὰ τοῦ τετραγώνου τοῦ μήκους μέσον ἡλίου καὶ σελήνης f91vV ἑνοῦται. εἴ τι εὑρεθῇ, ὁ πολυπλασιασμὸς ἐκείνου ζητεῖται, καὶ τὸ ἐξελθὸν τόξον ἐστὶ τοῦ φωτὸς ἤγουν τῆς ἐλλάμψεως τῆς σελήνης.

Διαίρεσις ς΄. Περὶ τοῦ τόξου ἐκείνου καὶ τοῦ καιροῦ ὅτι ἐστὶν ὑπὲρ γῆν ἡ σελήνη μετὰ τὴν δύσιν τοῦ ἡλίου

13 ἑαυτό] αὐτὸ Vv

Κρατεῖται ὁ τόπος τῆς τύχης τῆς μοίρας τῆς διαμέτρου τοῦ ἡλίου εἰς τὸ πλάτος τῆς πόλεως. ἐκεῖνο τηρεῖται. ἔπειτα κρατεῖται ὁ τόπος τῆς τύχης τῆς μοίρας ἐκείνης τῆς διαμέτρου μετὰ τῆς μοίρας μεθ' ἧς κατέρχεται ἡ σελήνη εἰς τὸ πλάτος τῆς πόλεως. ἔπειτα ὁ τόπος τῆς τύχης τοῦ ἡλίου ἀφαιρεῖται ἀπὸ τοῦ τόπου τῆς τύχης τῆς σελήνης. εἴ τι καταλειφθῇ, ἐκεῖνό ἐστι τὸ ῥηθέν.

Διαίρεσις ζ'. Περὶ τοῦ τόξου τῆς καταβάσεως τοῦ ἡλίου ὑπὸ γῆν κατὰ τὸν καιρὸν ἡνίκα κατέρχεται ἡ σελήνη

Χρείας γενομένης εἰς τὸν ψῆφον τοῦτον τὸ αὐθημερινὸν τοῦ ἡλίου ἀπὸ τοῦ ὀρθωθέντος παρ' ἡμῶν ἐκείνου τόπου τῆς σελήνης ἀφαιρεῖται. εἴ τι καταλειφθῇ, ἡ τραχηλαῖα ἐκείνη ἔπειτα κρατεῖται. | καὶ ἐκείνη τηρεῖται εἰς f151rL
τὴν τραχηλαῖαν τὴν τετελειωμένην τῆς ἀναβάσεως τοῦ τόπου τῶν ἄκρων. τὸ γοῦν εὑρεθὲν ἐκεῖνο παρ' ἕνα βαθμὸν ἔλαττον κρατεῖται. ὅ τι εὑρεθῇ, τραχηλαῖά ἐστιν. εἶτα τὸ τόξον ἐκείνου κρατεῖται, καὶ ἡ κατάβασις τοῦ ἡλίου εὑρίσκεται. | παρ' ἡμῶν δὲ ἐτέθη κανόνιον εἰς τὸ πλάτος τῶν $\overline{\lambda\zeta}$. f92rV

Εἰ οὖν δεήσει τὸ τόξον ἐκεῖνο τοῦ καιροῦ καταληφθῆναι εἰς τὴν ἐσχάτην ἀνάβασιν τῆς διαμέτρου τῆς μοίρας τοῦ ἡλίου, κατ' ἐναντίον τῆς τοιαύτης ἀναβάσεως γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον τῆς καταβάσεως ἡλίου καὶ ἀναβάσεως τῆς σελήνης εἰς τὸν διὰ κοκκίνου ψῆφον τῆς ἀναβάσεως τῆς

μοίρας τῆς διαμέτρου τοῦ ἡλίου εἰς τὸν κύκλον τοῦ μέσου τῆς ἡμέρας καὶ τὸν ψῆφον τοῦ τόξου τοῦ καίρου τῆς ἀναβάσεως τῆς σελήνης ἄνω τοῦ κανονίου, ὄντα καὶ τοῦτον δι᾽ κοκκίνου. ἔνθα οὖν συνδράμωσιν οἱ ψῆφοι ἐκ διαστημάτων κρατεῖται ὁ εὑρεθεὶς ψῆφος ἐκεῖ. εἴ τι εὑρεθῇ ἀπὸ μοιρῶν καὶ λεπτῶν, ἐκεῖνο τόξον ἐστὶ τῆς καταβάσεως τῆς ἡλίου.

Διαίρεσις ⟨η΄⟩. Περὶ τῆς ἀναβάσεως τῆς σελήνης μετὰ τὴν δύσιν τοῦ ἡλίου ἀπὸ τοῦ κανονίου τούτου

᾽Επεὶ χρεία εἰδέναι τὴν μέθοδον ταύτην, ἐκβάλλεται τὸ πλάτος τῆς σελήνης, καὶ τηρεῖται εἴτε νότιον εἴτε βόρειόν ἐστιν. ἐκεῖνο οὖν τὸ πλάτος φυλάττεται. ἔπειτα καταλαμβάνεται ἡ ἐσχάτη ἀνάβασις τῆς μοίρας τῆς σελήνης. εἶτα | τηρεῖται. ἐὰν τὸ πλάτος τῆς σελήνης βόρειον, ἑνοῦται ταύτῃ f151vL
τῇ ἀναβάσει· εἰ δὲ νότιον, ἀφαιρεῖται ἐξ ἐκείνου. καὶ εὑρίσκεται ἡ ἐσχάτη ἀνάβασις τῆς σελήνης. εἶτα αὕτη ζητεῖται εἰς τὸ κανόνιον τῆς καταβάσεως τοῦ ἡλίου καὶ ἀναβάσεως τῆς σελήνης εἰς τὸν διὰ κοκκίνου ψῆφον. ἔνθα οὖν εὑρεθῇ κατ᾽ | ἐναντίον τούτου μέσον τοῦ τοιούτου κανονίου, ὁ καιρὸς f308rv
| ζητεῖται τοῦ τόξου. ἔνθα εὑρεθῇ, κατ᾽ ἐναντίον τούτου ὁ ἄνω ψῆφος τοῦ 92vV
κανονίου ὁ διὰ κοκκίνου κρατεῖται. καὶ ἐκεῖνό ἐστιν ἡ ἀνάβασις τῆς σελήνης ἡνίκα νέα φανῇ.

7 τούτου om. Vv ‖ 11 ταύτῃ] τούτῳ codd.

Κεφάλαιον β΄. Περὶ τῆς καταλήψεως τῶν τόξων

Ἐζητήθη ἐν ταῖς βίβλοις τῶν ἀρχαίων περὶ τῆς σελήνης νέας φαινομένης μετὰ σύνοδον, καὶ εὑρέθη ὅτι $\overline{\delta}$ τόξα ἐτέθησαν παρ' ἐκείνοις· α΄ τόξον τοῦ καιροῦ, ἕτερον τῶν ἀκτίνων, ἄλλο τῆς ἀναβάσεως, καὶ ἕτερον τόξον τῆς καταβάσεως. ταῦτα τὰ $\overline{\delta}$ τόξα μετὰ τοῦ ψήφου τοῦ ἰδίου τῆς σελήνης ὀρθοῦται εἰς τὸν παρ' ἡμῶν δὲ γινόμενον ψῆφον.

Ταῦτα δὲ τὰ $\overline{\delta}$ τόξα ἐν πᾶσιν ὀρθὰ οὐ συμβαίνουσιν. διὰ τί; διὰ τὸν πλεονασμὸν καὶ τὴν ἔλλειψιν τῶν πλατῶν τῶν πόλεων. καὶ δι' ἐκεῖνο ὅτι εἰς τὰ τόξα τῆς ἀναβάσεως καὶ τῆς καταβάσεως τοῦ καιροῦ περισσεία καὶ ἔλλειψις γίνεται. παρ' ἡμῶν δὲ ἐζητήθη τοῦτο ἐκβληθῆναι ὡς ἂν καταβληθῇ | ἡ περισσεία ἑκάστου τόξου καὶ ἡ ἔλλειψις καὶ πόση. f152rL

Διαίρεσις. Περὶ τῆς καταλήψεως [τοῦ φωτὸς] τοῦ τόξου ἀπὸ τῶν $\overline{\iota}$ μοιρῶν μέχρι καὶ τῶν $\overline{\iota\beta}$

Τὸ τόξον τοῦ καιροῦ ἀπὸ τῶν $\overline{\eta}$ μέχρι καὶ τῶν $\overline{\iota\beta}$, τὸ τόξον τῆς ἀναβάσεως τῆς σελήνης ἀπὸ τῶν $\overline{\varsigma}$ μοιρῶν ἕως τῶν $\overline{\eta}$, τὸ τόξον τῆς ἀναβάσεως τοῦ ἡλίου

3 μετὰ σύνοδον om. L ‖ 5 τέσσαρα Vv ‖ 6 γινόμενον om. Vv ‖ 13 καὶ om. Vv ‖ 14 καὶ om. Vv

ἀπὸ τῶν $\overline{\eta}$ μοιρῶν μέχρι τῶν $\overline{\iota}$. ἐπεὶ γοῦν χρεία γενέσθαι ἑκάστου ψῆφον, ἡ περισσεία ἑκάστου | κρατεῖται εἰς τὸν πλεονασμὸν καὶ τὴν ἔλλειψιν. ἐκεῖνο f93rV τοίνυν τηρεῖται εἰς τὰ λεπτὰ τοῦ αὐθημερινοῦ. εἴ τι ἐξέλθῃ, παρ' ἕνα βαθμὸν ἔλαττον κρατεῖται. εἴ τι εὑρεθῇ, ὄρθωσίς ἐστιν. ἐκεῖνο ἑνοῦται ἑκάστῳ τῶν $\overline{\delta}$ τόξων. εἴ τι οὖν εὑρεθῇ ἀφ' ἑκάστου τούτων, ἐκεῖνο τρυτάνη τῆς θεωρίας τῆς σελήνης.

Ἐπεὶ δὲ $\overline{\delta}$ τόξα, καὶ $\overline{\delta}$ τρυτάναι. καὶ ἕκαστον δὲ ἀπὸ τῶν $\overline{\delta}$ τούτων τόξων μετὰ τοῦ ψήφου ὡς ἐρρέθη πρότερον ἐκβάλλεται, καὶ ἓν παρ' ἓν μετὰ τοῦ ψήφου ἐκείνου τῆς τρυτάνης θεωρεῖται κατ' ἐναντίον. εἰ οὖν ἕκαστον ἐξισοῦται τῷ ψήφῳ τῆς ἰδίας τρυτάνης ἢ πλέον ἐστὶ τούτου, ἡ σελήνη θεωρεῖται· εἰ δ' ἔλαττον, οὐ θεωρεῖται. ἀπὸ τῶν $\overline{\delta}$ δὲ τούτων τόξων μετὰ τοῦ ψήφου τοῦ ἑνὸς δυνατὸν ἰδεῖν τὴν σελήνην, μετὰ τῶν ἑτέρων δὲ $\overline{\gamma}$ οὐ δυνατόν. εἰς ταῦτα οὖν τὰ $\overline{\gamma}$ γίνεται ὁ ψῆφος. | εἰ δὲ διὰ τῶν $\overline{\gamma}$ ψήφων f152vL δυνατὸν ἰδεῖν, διὰ τῶν $\overline{\beta}$ δὲ οὐ δυνατόν. ἀπὸ τούτου οὐ γίνεται μέθοδός τις ὅθεν ὁ ψῆφος οὗτος καταλιμπάνεται. καὶ ἕτερος μεθοδεύεται ὡς ἔπειτα ῥηθήσεται.

Κεφάλαιον γ΄. Περὶ τοῦ θεμελίου τῆς θεωρίας τῆς σελήνης ὅλου

Ἴσθι ὅτι ἡ θεωρία τῆς σελήνης νέας φανείσης περὶ τὴν ὄψιν τῶν ὀμμάτων

8–9 ὡς...τοῦ ψήφου in marg v ‖ 12 τριῶν Vv ‖ 13 $\overline{\gamma}^2$] $\overline{\beta}$ Lvv

ἐστί. καὶ | γάρ εἰσιν οἱ ὀφθαλμοὶ πλείονος μετέχοντες φωτός, καὶ εἴσιν ἕτεροι f308vv
ἐλάττονος μετέχοντες, καὶ εἴσιν οἱ μέσου φωτὸς εὐμοιροῦντες. εἰς τοῦτο
οὖν τρεῖς ψῆφοι | ἐτέθησαν· $\overline{\alpha}$ ψῆφος μέγας διὰ τοὺς ὀφθαλμοὺς τοὺς τὸ φῶς f93vV
ἔχοντας ἔλαττον, καὶ $\overline{\alpha}$ μέσος διὰ τοὺς ὀφθαλμοὺς τοὺς μέσον ἔχοντας φῶς,
5 καὶ $\overline{\alpha}$ ψῆφος μικρὸς διὰ τοὺς ὀφθαλμοὺς τοὺς πλεῖστον ἔχοντας φῶς. ἐκεῖνο
οὖν ὁ ψῆφος ὁ μέσος παρὰ πάντων πιστοῦται.

Χρείας τοίνυν γενομένης περὶ τῆς τοιαύτης μεθόδου ἐκβάλλεται τὸ αὐθημερινὸν τοῦ ἡλίου καὶ τῆς σελήνης εἰς τὸν καιρὸν ἐκεῖνον ἡνίκα δύνῃ ἡ σελήνη ὡς ἂν ἐκβληθῇ τὸ τόξον τοῦ φωτὸς μετὰ τῆς καταβάσεως τοῦ ἡλίου.
10 ταῦτα οὖν τὰ $\overline{\beta}$ – τὸ τόξον καὶ ἡ κατάβασις – τηροῦνται. ἔπειτα γίνεται εἰσέλευσις ἀπὸ τοῦ ἰδίου ἢ τῆς μεταβάσεως τῆς σελήνης εἰς τὰ κανονία τῆς θεωρίας τῆς σελήνης ἀπὸ τῆς ὄψεως.

Κατ' ἐναντίον οὖν τούτων τοῦ ἰδίου καὶ μεταβάσεως | κρατεῖται ὁ μέσος f153rL
ψῆφος ὁ εὑρεθεὶς μέσον τῶν στιγμῶν ὃς καὶ μέσος ψῆφος λέγεται. οὗτος
15 τοίνυν ὁ ψῆφος ὁ ἀπὸ τοῦ ἑνὸς καὶ τῶν δύο ἰδίᾳ κρατεῖται. ἔπειτα ὁ ἀπὸ τοῦ ἑνὸς ψῆφος ἀφαιρεῖται ἀπὸ τοῦ δευτέρου. εἴ τι καταλειφθῇ, ἐκεῖνο ὄρθωσις λέγεται. καὶ τοῦτο ἤγουν ἡ ὄρθωσις τηρεῖται. εἰς τὸν ψῆφον δὲ τοῦτον δύο τινά εἰσιν ἐφ' οἷς χρὴ ἐπιστῆσαι τὸν νοῦν.

---

3 εἷς Vv | ψῆφος + ὁ Vv ‖ 4 εἷς Vv ‖ 5 εἷς Vv ‖ 10 δύο V ‖ 15 $\bar{\beta}$ L ‖ 17 ἡ om. v

Διαίρεσις. Εἰς τὴν πρώτην θεωρίαν

Γίνεται τήρησις εἰς τὴν πρώτην θεωρίαν. εἴπερ ἐστὶν ἐλάττων ἀπὸ τοῦ α΄ τόξου ἢ ἴση, θεωρία οὐκ ἔστι τῆς σελήνης. διὰ τί; ὅτι ἡ σελήνη ἔτι ὑπὸ τὸ φῶς ἐστι τοῦ ἡλίου κεκρυμμένη. |εἰ δ' ἐξισοῦται τῷ β΄ τόξῳ ἢ πλέον ἐστίν, ἡ f94rV
5 σελήνη ὑπεξέστη τοῦ φωτὸς τοῦ ἡλίου καὶ πρὸ τοῦ δῦναι τὸν ἥλιον φαίνεται αὕτη. καὶ χρεία ψήφου οὐκ ἔστιν ἐν ταύλᾳ. εἰ δὲ τὸ τόξον τοῦ φωτὸς πλέον τοῦ α΄ τόξου καὶ ἔλαττον τοῦ β΄ , ἡ σελήνη νέα γενομένη εἰς ἐκεῖνόν ἐστι τὸν βαθμὸν τοῦ φανῆναι ἢ οὔ.

Ἐνταῦθα οὖν χρεία πάντως ψήφου εἰς τὸ ἰδεῖν τὴν σελήνην ἢ μὴ ἰδεῖν.
10 βουλομένων οὖν ἡμῶν ποιῆσαι τὸν ψῆφον τοῦτον ποιοῦμεν οὕτως· τὸ πρῶτον τόξον ἀπὸ τοῦ τόξου τοῦ φωτὸς ἀφαιροῦμεν. εἴ τι καταλειφθῇ, ἐκεῖνο περισσεία λέγεται. ταύτην οὖν περισσείαν | τηροῦμεν εἰς τὸ α΄ τόξον. εἴ f153vL
τι εὑρεθῇ, μερίζομεν εἰς τὴν φυλαχθεῖσαν ἐκείνην ὄρθωσιν. εἴ τι ἐξέλθῃ, ἐκεῖνο ἀφαιρεῖται ἀπὸ τοῦ α΄ τόξου, καὶ ἐκεῖνο τὸ καταλειφθὲν τόξον ἐστὶ
15 τῆς τελείας ὄψεως.

Διαίρεσις. Περὶ τῆς δευτέρας θεωρίας

Τηρεῖται ἡ κατάβασις τοῦ ἡλίου. ἐὰν ᾖ ἐξισουμένη αὕτη τῷ τόξῳ τῆς

3 πρώτου Vv ‖ 4 δευτέρῳ V ‖ 7 πρώτου Vv | δευτέρου V | γινομένη v ‖ 10 βουλομένων ... τοῦτον om. Vv | ποιοῦμεν + οὖν Vv ‖ 12 πρῶτον V ‖ 14 πρώτου Vv | καὶ ἐκεῖνο τὸ] τὸ γοῦν Vv

τελείας ὄψεως ἢ πλείων, ἡ σελήνη φαίνεται γενομένη νέα.

Εἰ δὲ βούλεταί τις ἀσφαλῶς τηρῆσαι τὴν μέθοδον ταύτην μετὰ τῶν δύο λοιπῶν, τοῦ α΄ καὶ τοῦ γ΄, χρὴ τὴν ἐργασίαν ποιῆσαι. ἐὰν οὖν μετὰ τοῦ ψήφου τοῦ α΄ τούτου κανονίου φανῇ ἡ σελήνη, |λέγομεν ὅτι ἡ σελήνη μεγάλη f309rv ὀφείλει φανῆναι ὥστε καὶ τοὺς ἀμβλυωποιοῦντας ἰδεῖν αὐτήν. εἰ δὲ ἐξέλθῃ ὁ ψῆφος ἀπὸ τοῦ β΄ κανονίου, λέγομεν ὅτι ἡ σελήνη οὔτε πάνυ ἀμυδρὰ οὔτε μεγάλη ὀφείλει φανῆναι οὕτως ἵνα ἴδωσιν αὐτὴν οἱ ὀφθαλμοὶ οἱ μέσοι κατὰ τὴν ὄψιν. εἰ δὲ ἐξέλθῃ ὁ ψῆφος ἀπὸ τοῦ γ΄ κανονίου, ἐργασία οὐ γίνεται διότι ἡ σελήνη πάνυ ἐστὶ τηνικαῦτα ἀμυδρὰ τοιαύτη|ὅτι εἰ οὐκ ἔστι νέφος εἰς τὸν f94vV οὐρανὸν ἢ ὁμίχλη τις, οἱ ὀφθαλμοὶ οἱ βλέποντες καθαρῶς βλέπουσι ταύτην. καὶ ἡ ἀρχὴ τοῦ μηνὸς οὐ λογίζεται ἀπὸ τότε, ἀλλὰ γράφεται εἰς τὴν ἀρχὴν τοῦ αὐθημερινοῦ οὕτως ὅτι|ἴσως ἵνα φανῇ ἡ σελήνη. f154 rL

Κεφάλαιον δ΄. Περὶ τοῦ ψήφου τούτου ἵνα δειχθῇ ἡ σελήνη διὰ δακτύλων

Ἐπεῖ χρεία τούτου τοῦ ψήφου, περισσεύονται εἰς τὸν τόπον τῆς σελήνης $\overline{\delta}$ λεπτὰ ὅπως εὑρεθῇ ὁ τόπος τῆς σελήνης ὅταν δύῃ ὁ ἥλιος εἰς ἐπόγδοον μιᾶς ὥρας διὰ ἐκεῖνο ὅτι ὁ ἥλιος τόσον οὐκ ἔδυ ὑπὸ γῆν, καὶ τὸ φῶς τοῦ

1–3 γενομένην... ποιῆσαι] εἰ δ' ἔλαττον οὐ φαίνεται εἰ δὲ ἐγένετο ἡ μέθοδος καὶ ἐργασία διὰ τοῦ α΄ καὶ γ΄ κανονίου Vv ‖ 3 οὖν om. Vv | μετὰ] διὰ Vv ‖ 4 τούτου om. Vv ‖ 5 ὀφείλει φανῆναι] ἵνα φανῇ L ‖ 7 ὀφείλει φανῆναι] ἵνα φανῇ L | οἱ ὀφθαλμοὶ om Vv ‖ 9 τηνικαῦτα πάνυ ἐστὶ Vv ‖ 11 ἀρχὴν] ἄκρην L ‖ 12 ἴσως] ἂν τύχῃ L ‖ 14 ψήφου τούτου Vv ‖ 16 τόσον om Vv

ἡλίου ἔτι οὐκ ἐᾷ τὴν σελήνην φανῆναι. ἔπειτα ἐκβάλλεται ἡ ἀνάβασις τῆς σελήνης καθὼς ἐρρέθη πρότερον ὡσαύτως καὶ τὸ σημεῖον τῆς ἀναβάσεως καθὼς ἐρρέθη εἰς τὸ ε΄ κεφάλαιον τῆς ς΄ μοίρας.

Εἶτα ἐκεῖ τίθεται κάθετος εἰς τὸ σημεῖον τῆς ἀναβάσεως μετὰ τῆς ἀποδείξεως ταύτης ἵνα εἰς τὸ μέρος τῆς δύσεως μήτε βουνὸς μήτε νέφος ἐπιπροσθοῦν.

Διαίρεσις.

Ἔπειτα ὁ ἀστρολάβος εἰς τὴν κάθετον ἐκείνην κρεμᾶται, καὶ ἐξισοῦται μετὰ τῆς ἐν τῇ γῇ γενομένης εὐθείας γραμμῆς. καὶ τηρεῖται ἡ ἀνάβασις τῆς σελήνης πόση ἡ ἐξελθοῦσα ἀπὸ τοῦ κανονίου τῆς καταβάσεως τοῦ ἡλίου καὶ τῆς ἀναβάσεως τῆς σελήνης. καὶ τίθεται τὸ ἄκρον τοῦ πήχεος τοῦ ἀστρολάβου εἰς τὸν τοιοῦτον ψῆφον. ἔπειτα διὰ τοῦ ἑνὸς ὀφθαλμοῦ τοῦ ἑτέρου καμμύσαντος θεωρεῖται διὰ τῶν ὀπῶν τοῦ πήχεος εἴ πως φανῇ ἡ σελήνη. εἰ δὲ οὐ φανῇ διὰ τῶν τοιούτων ὀπῶν, ἐκεῖνος ὁ φανεὶς ἐν τῳ οὐρανῷ τόπος | ἐκεῖνός | ἐστιν ἐν ᾧ ἡ σελήνη ἔνθα ὀφείλει αὕτη ζητηθῆναι. f154vL, f95rV

---

3 πέμπτον Vv | ἕκτης V ‖ 11 τὸ ἄκρον] ἡ ἄκρα L ‖ 12 ἔπειτα] εἶτα v

Κεφάλαιον ε΄. Περὶ τῶν $\overline{\varepsilon}$ πλανωμένων ἀστέρων ὅτι κατὰ ποῖον καιρὸν ἐξέρχονται ἤτοι ὑπεξίστανται τοῦ φωτὸς τοῦ ἡλίου, καὶ κατὰ ποίαν ὥραν εἰσέρχονται ὑπὸ φῶς τοῦ ἡλίου κατὰ τὸ πρωΐ ἢ τὴν ἑσπέραν

Καὶ οὗτος ὁ ψῆφος οὕτως ἐστὶ καθώσπερ καὶ ἐπὶ τῆς σελήνης.

Ἐπεὶ οὖν χρεία τοῦ ψήφου τούτου, ἐκείνη ἡ μοῖρα ἡ ἐξερχομένη μετὰ τοῦ ἀστέρος τηρεῖται ἢ ἐκείνη ἡ μοῖρα ἡ μετὰ τοῦ ἀστέρος δύνουσα γινώσκεται οὕτως ὡς ἐρρέθη πρότερον, καθώσπερ ἐξεβλήθη εἰς τὸν ψῆφον τῆς σελήνης νέας φαινομένης τὸ τόξον τοῦ καιροῦ τῆς καταβάσεως τοῦ ἡλίου καὶ ἐνταῦθα οὕτως | ὀφείλει ἐκβληθῆναι. τὸ τόξον εἰς τὴν θεωρίαν τῶν ἀστέρων κατὰ f309vv τοὺς Ἰνδούς ἐστι τόσον· τοῦ Κρόνου $\overline{\iota\varepsilon}$, τοῦ Διός $\overline{\iota\alpha}$, τοῦ Ἄρεος $\overline{\iota\gamma}$, τῆς Ἀφροδίτης $\overline{\theta}$ καὶ τοῦ Ἑρμοῦ $\overline{\iota\gamma}$.

Κατὰ τὸν Πτολεμαῖον μετὰ τοῦ ψήφου τοῦ τόξου τῆς καταβάσεως τοῦ ἡλίου εἰς τὸν καιρὸν ἡνίκα δύνῃ ὁ ἀστὴρ ἢ ἀνίσχῃ ἐστὶ τόσον· τοῦ Κρόνου $\overline{\iota\alpha}$, τοῦ Διὸς $\overline{\iota}$, τοῦ Ἄρεος $\overline{\iota\alpha}$ λ΄, τῆς Ἀφροδίτης ὅταν κινῆται κατ' ὀρθὸν $\overline{\zeta}$, καὶ ὅταν ὑποποδίζῃ $\overline{\varepsilon}$, τῆς Ἑρμοῦ $\overline{\iota}$.

Ἔπειτα τηρεῖται ὅτι τὸ μῆκος τοῦ ἀστέρος ἀπὸ τοῦ ἡλίου πόσον ἔνι. ἐὰν ᾖ κατ' ἐναντίον τῶν τόξων τούτων ἢ πλέον, ὁ ἀστὴρ φαίνεται· εἰ δ' ἔλαττον, ὁ ἀστὴρ οὐ φαίνεται.

---

1 περὶ + τῆς καταλήψεως περὶ L ‖ 8 τοῦ τόξου LVv ‖ 10 τοῦ^1] ὁ L | τοῦ^2] ὁ L | τοῦ^3] ὁ L | τῆς] ἡ L ‖ 11 τοῦ] ὁ L ‖ 13 τοῦ] ὁ L ‖ 14 τοῦ^1] ὁ L | τοῦ^2] ὁ L | τῆς] ἡ L | ἐξ ὀρθοῦ L ‖ 15 τῆς] ἡ L

Διαίρεσις. Ἐις τὸ γνώρισμα | ὅταν φανῇ ὁ ἀστήρ, καὶ ὅταν δύνῃ μετὰ τοῦ f155rL
κανονίου

Ἡμεῖς κανόνιον ἐθήκαμεν, καὶ τὰ τόξα ἅπερ ἔδομεν τεθείκαμεν εἰς ἐκεῖνο τὸ κανόνιον μετὰ τοῦ ψήφου τῶν καταβάσεων εἰς τὸ δ΄ κλίμα εἰς τὰς ἀρχὰς τῶν ζῳδίων. ἐὰν οὖν ὁ ἀστὴρ εἰς τὴν ἀρχὴν τῶν ζῳδίων εἴ τι ἔνι, | εἰς τὸ f95vV
κανόνιον κρατεῖται· εἰ δὲ εἰς τὴν ἀρχὴν τοῦ ζῳδίου οὐκ ἔστιν, ὁ ψῆφος ὅστις ἔνι εἰς τὴν ἀρχὴν τοῦ ζῳδίου κρατεῖται, καὶ τηρεῖται ὡσαύτως καὶ εἴ τι εὑρεθῇ εἰς τὴν ἀρχὴν τοῦ μετ᾽ αὐτὸ ζῳδίου. καὶ τοῦτο κρατεῖται, καὶ μετὰ τοῦ ψήφου τῶν $\overline{\beta}$ ζῳδίων ὀρθοῦται ὡς ἐρρέθη εἰς τὸ πλέον καὶ ἔλαττον τῆς ὄψεως. εἴ τι οὖν εὑρεθῇ, τόξον τῆς θεωρίας τοῦ ἀστέρος ἐστίν. εἶτα κρατεῖται ἡ μέση τοῦ αὐθημερινοῦ τοῦ ἡλίου καὶ τοῦ ἀστέρος περισσεία καὶ τηρεῖται. ἐὰν οὖν ὁ ψῆφος οὗτος εἰς τὸ φανῆναι τὸν ἀστέρα, ἐκείνη ἡ περισσεία ἐὰν πλείων τοῦ φανέντος τόξου, ὁ ἀστὴρ ἐφάνη· εἰ δ᾽ ἐλάττων, ὁ ἀστὴρ οὐ φαίνεται. εἰ δ᾽ ἐστὶν οὗτος ὁ ψῆφος ἵνα δύνῃ ὁ ἀστήρ, ἐκείνη ἡ περισσεία ἐὰν πλείων τοῦ τόξου οὗ εἴδομεν, ὁ ἀστὴρ ἔτι οὐκ ἔδυνεν· εἰ δ᾽ ἐλάττων, ὁ ἀστὴρ ἔδυνεν.

Διαίρεσις. Εἰς τὴν κατάληψιν ἐκείνην ὅτι ὁ ἀστὴρ κατὰ ποῖον καιρὸν δύνει

---

3 κανόνιον] κανόνα v ‖ 9 δύο Vv

καὶ κατὰ ποῖον ἀνίσχει

Ἡ μετάβασις τοῦ ἡλίου καὶ ἐκείνου τοῦ ἀστέρος καταλαμβάνονται καὶ | τίθενται εἰς τὴν ταῦλαν. ἔπειτα τηροῦνται. ἐὰν ὁ ἀστὴρ ὑποποδίζῃ, ἑνοῦνται f155vL καὶ αἱ $\overline{\beta}$ μεταβάσεις. εἰ δὲ κινεῖται ὁ ἀστὴρ ἐξ ὀρθοῦ, τὸ ἔλαττον ἀφαιρεῖται ἀπὸ τοῦ πλείονος. εἴ τι εὑρεθῇ, ἐκεῖνο μετάβασίς ἐστι τελεία. τοῦτο τηρεῖται. ἔπειτα ἐκείνη ἡ περισσεία τίθεται εἰς τὴν ταῦλαν, καὶ τὸ τόξον τὸ φανὲν εἰς τὸ πλάγιον ταύτης τίθεται. καὶ τὸ ἔλαττον ἀφαιρεῖται τοῦ πλείονος. εἴ τι καταλειφθῇ, ἐκεῖνο μερίζεται εἰς ἐκείνην τὴν | τελείαν μετάβασιν. εἴ τι f310rv ἐξέλθῃ, ἡμέραι εἰσὶ ὅτι ἢ δύνει ἢ ἀνίσχει ὁ ἀστήρ.

Κεφάλαιον ς΄. | Περὶ τῆς σελήνης νέας φανείσης μετὰ τῶν ψήφων οἵτινες f96rV ἡνώθησαν μετὰ ἑτέρων ἄλλων οἳ καὶ ἐγεννήθησαν ἀπὸ τοῦ νοὸς τοῦ Χαζανῆ εἰς τὴν ὁδὸν τὴν εὔληπτον δίχα δυσχερείας τῶν μακρῶν ἐκείνων ψήφων, μεθοδευθέντων τούτων πρὸς σαφήνειαν καὶ βραχύτητα. τοῦτο εἰς δύο ἐτέθη διαιρέσεις.

Διαίρεσις α΄. Περὶ τῆς ἀσφαλοῦς ὀρθώσεως τοῦ τόξου τοῦ καιροῦ

4 δύο Vv ‖ 5 ἀπὸ om. v ‖ 11 μετὰ + τῶν v | χαζηνῆ L ‖ 12 εὔληπτον] εὔκολον L ‖ 15 ὀρθώσεως] ὀρθώματος L

Γίνεται τὸ αὐθημερινὸν τοῦ ἡλίου καὶ τῆς σελήνης εἰς τὴν ἀρχὴν τῆς νυκτὸς ἥτις ἐστὶ τῆς ἐπιούσης πρωΐας εἰς τὴν λ΄ ἡμέραν εἰς τὰς ἡμέρας τῶν Ἀράβων. τηνικαῦτα οὖν κρατεῖται τὸ τόξον τοῦ καιροῦ καὶ τὸ τόξον τοῦ φωτὸς καὶ ἡ μετάβασις τῆς σελήνης. ἔπειτα τίθεται εἰς τὴν ταῦλαν ἡ μετάβασις, |καὶ αὕτη f156rL ἀφαιρεῖται ἀπὸ τοῦ τόσου· $\overline{\text{κε}}$ λ΄. εἴ τι καταλειφθῇ, ἐκεῖνο τόξον λέγεται τῆς θεωρίας οὐχὶ τέλειον. ἐκεῖνο τηρεῖται. ἔπειτα τὸ τόξον τοῦ φωτὸς εἰς τὸ πλάγιον ἐκείνης τίθεται καὶ τηρεῖται. ἐὰν ἐξισοῦνται καὶ τὰ $\overline{\beta}$, ἐκεῖνο τὸ τόξον τῆς θεωρίας τέλειόν ἐστιν· εἰ δ' οὐκ ἐξισοῦνται, τὸ ἔλαττον ἀφαιρεῖται τοῦ πλείονος. εἴ τι καταλειφθῇ, ἐκεῖνο περισσεία ἐστίν. τοῦτο τηρεῖται. ἔπειτα ἐὰν τὸ τόξον τοῦ φωτὸς ἔλαττον ᾖ τοῦ τόξου τῆς θεωρίας, ἐκείνη ἡ περισσεία εἰς τὸ τόξον τοῦτο τῆς θεωρίας ἑνοῦται. εἰ ἔστι πλέον ὅπως γένηται τὸ τόξον τῆς θεωρίας, τέλειον τοῦτο εἰς τὴν ταῦλαν τίθεται. καὶ τὸ τόξον τοῦ καιροῦ εἰς τὸ πλάγιον τούτου τίθεται καὶ τηρεῖται. εἰ τὸ τόξον τοῦ καιροῦ ἐξισοῦται τῷ τόξῳ τῆς θεωρίας ἢ πλέον, ἡ σελήνη φαίνεται· εἰ δ' οὐκ, οὐ φαίνεται. ἔπειτα τηρεῖται τὸ τόξον τοῦ φωτός. ἐὰν ᾖ τόσον· $\overline{\text{κε}}$ λ΄ ἢ πλέον, ἡ σελήνη ὑπεξέστη τοῦ φωτὸς τοῦ ἡλίου καὶ πρὸ τοῦ δῦναι τὸν ἥλιον φαίνεται· εἰ δ' ἔλαττον, οὐ φαίνεται.

---

1 τὸ om L ‖ 2 ἥτις... ἡμέραν] τῆς λ΄ ἡμέρας Vv ‖ 3 οὖν om L ‖ 7 δύο Vv

Διαίρεσις β΄. Περὶ τῆς ἀσφαλοῦς ὀρθώσεως τοῦ τόξου τῆς καταβάσεως τοῦ ἡλίου καὶ εἰς τὴν ἐκβολὴν τῆς σελήνης νέας γενομένης μετὰ τῶν ἑτέρων ψήφων

Γίνεται αὐθημερινὸν τοῦ ἡλίου καὶ τῆς σελήνης εἰς τὴν νύκτα τὴν λ΄ ἀπὸ τοῦ μηνὸς τῶν Ἀράβων|ὅταν δύνῃ ἡ σελήνη. ἔπειτα τηρεῖται τὸ τόξον τοῦ φωτὸς f156vL
καὶ ἡ κατάβασις τοῦ ἡλίου καὶ ἡ μετάβασις τῆς σελῆνης. εἶτα ἀφαιρεῖται ἡ μετάβασις τῆς σελήνης ἀπὸ τοῦ τόσου· $\overline{\text{κδ}}$ λ΄. εἴ τι καταλειφθῇ, ἐκεῖνο τόξον ἐστὶ τῆς θεωρίας οὐχὶ τέλειον. τότε τηρεῖται εἰς τὸ τόξον τοῦ φωτός. ἐὰν ᾖ ἔλαττον τοῦ τόξου τῆς θεωρίας, οὐκ ἔνι χρεία τῆς θεωρίας τῆς σελήνης· εἰ δ' ἐξισοῦται τούτῳ ἢ πλέον, φαίνεται.

Ὁ ψῆφος.

Τὸ τόξον τοῦ φωτὸς καὶ τὸ |τόξον τῆς θεωρίας τίθενται καὶ τὰ $\overline{\beta}$ εἰς τὴν f310vv
ταῦλαν. καὶ ἡ περισσεία τῶν $\overline{\beta}$ κρατεῖται καὶ ἀφαιρεῖται ἀπὸ τοῦ τόξου τοῦ φωτός, καὶ γίνεται τέλειον. τοῦτο τίθεται εἰς τὴν ταῦλαν. καὶ ἡ κατάβασις τοῦ ἡλίου εἰς τὸ πλάγιον τούτου τίθεται. εἶτα τηρεῖται ἡ κατάβασις τοῦ ἡλίου. ἐὰν ἐξισοῦται μετὰ τοῦ τόξου τῆς θεωρίας τοῦ τελείου ἢ πλέον τούτου, ἡ σελήνη φαίνεται· εἰ δ' ἔλαττον, οὐ φαίνεται. εἶτα τηρεῖται. εἰ τὸ τόξον τοῦ φωτός ἐστι τόσον· $\overline{\text{κδ}}$ λ΄ ἢ πλέον τούτου, ἡ σελήνη πρὸ τοῦ δῦναι τὸν ἥλιον

‖ 18 τοῦ ἀσφαλοῦς ὀρθώματος L 8 ἔνι] ἐστι L ‖ 9 φαίνεται] ἐλπὶς ἰδεῖν αὐτὴν L ‖ 11 δύο Vv ‖ 12 δύο Vv

φαίνεται· εἰ δ' ἔλαττον τούτου, πρὸ τοῦ δῦναι τὸν ἥλιον οὐ φαίνεται.

|Μοῖρα ιβ΄. Περὶ τῆς εἰσέλευσεως τῶν χρόνων καὶ τῶν γενεθλιαλογικῶν, καὶ περὶ τῆς καταλήψεως τοῦ τόπου τῶν ἀστέρων καὶ τῆς κινήσεως τῶν μοιρῶν καὶ τῆς καταλήψεως τοῦ τόπου τῶν μοιρῶν f97rV

|Ἐπεὶ βουλόμεθα εἰδέναι ὅτι πόσον παρῆλθον ἀπὸ τοῦ χρόνου τοῦ ἡλίου εἰς τὰ γενεθλιαλογικά, τὸ ἔτος τῶν Περσῶν ἡνίκα ἐγένετο ἡ γέννησις ἀπὸ τοῦ ἐνεστῶτος ἔτους τῶν Περσῶν ἀφαιρεῖται ἢ τὸ ἔτος τῶν Ῥωμαίων τὸ τότε ἀπὸ τοῦ ἐνεστῶτος ἔτους τῶν Ῥωμαίων ἀφαιρεῖται. εἴ τι καταλειφθῇ, χρόνοι εἰσὶ τοῦ ἡλίου τετελειωμένοι οἱ παρελθόντες ἀπὸ τῆς γεννήσεως. ἡ μοῖρα δὲ αὕτη εἰς $\overline{\delta}$ διαιρεῖται κεφάλαια. f157rL

Κεφάλαιον α΄. Περὶ τῆς εἰσελεύσεως τῶν χρόνων ὅλων καὶ τῶν χρόνων τῶν γενεθλιαλογικῶν καὶ τοῦ τόπου τῆς τύχης ἑκάστου

Οὗτος ὁ ψῆφος ὀφείλει καταλειφθῆναι. εἰ οὖν ἐστιν οὕτως ὅτι τὸ αὐθημερινὸν τοῦ ἡλίου κατὰ τὸν καιρὸν ἡνίκα ἐγένετο ἡ γέννησις τέλειον ἐγένετο μετὰ τῆς ὀρθώσεως τῆς ἡμέρας, τὸ αὐθημερινὸν τοῦ ἡλίου εἰς τοῦτον τὸν χρόνον εἰς ὅν ἐσμεν τέλειον ὀφείλει γενέσθαι μετὰ τῆς ὀρθώσεως τῆς ἡμέρας· εἰ δ' ἐκεῖνο τέλειον οὐκ ἔστιν, οὐ δὲ τοῦτο. οὗτος ὁ ψῆφος ὀφείλει κρατεῖσθαι εἰς ἐνθύμησιν.

---

1 δυοδεκάτη v ‖ 3 μοιρῶν] μερισμῶν L ‖ 8 ἡ om. L

Διαίρεσις. Περὶ τῆς ἐκβολῆς τῶν ὡρῶν τῆς εἰσελεύσεως τῶν χρόνων ὅλων εἰς ἐκεῖνον τὸν καιρὸν ὅτι ὁ ἡλίος γίνεται εἰς τὴν ἀρχὴν τῶν ζῳδίων ἢ εἰς τὸν καιρὸν ἐκεῖνον ὅτι ὁ ἥλιος γίνεται εἰς τὴν μοῖραν ἐκείνην καθ' ἣν ἐγένετο | ἡ f157vL ζήτησις τῆς γεννήσεως

| Τοῦτο ὁ τόπος τοῦ θεμελίου τοῦ ἡλίου καλεῖται εἰς τὸν ψῆφον τοῦ f97vV γενεθλιαλογικοῦ. οὗτος ὁ ψῆφος εἰς τοῦτο τὸ βιβλίον εἰς τὸ μῆκος τῆς μεταβάσεως ῥηθήσεται. ἐπεὶ βουλόμεθα εἰδέναι τὴν ὥραν τοῦ καιροῦ ἐκείνου ἡνίκα φθάνει ὁ ἥλιος εἰς τὴν μοῖραν ἐκείνην, τὸ αὐθημερινὸν τοῦ ἡλίου ζητεῖται εἰς τὸ μέσον τῆς ἡμέρας ὅπερ ἐστὶν ἐγγὺς τῆς μοίρας ἐκείνης τὸ καὶ γεγονὸς εἰς τὸ μῆκος τῆς πόλεως ἐκείνης | ἔνθα καὶ ἡ γέννησις. εἰ f311rv οὖν ἐστι τὸ αὐθημερινὸν ἐκεῖνο ἐξισούμενον μετὰ τῆς μοίρας ἐκείνης, ἡ ὥρα τοῦ μέσου τῆς ἡμέρας ὥρα ἐστὶ τῆς εἰσελεύσεως· εἰ δ' οὐκ ἐξισοῦται, ἡ εὑρεθεῖσα περισσεία μέσον τῶν $\overline{\beta}$ κρατεῖται. καὶ τηρεῖται αὕτη εἰς τὰ $\overline{\text{κδ}}$. εἴ τι εὑρεθῇ, μερίζεται εἰς τὴν μετάβασιν τοῦ ἡλίου. εἴ τι ἐξέλθῃ, αἱ ὧραί εἰσι τοῦ μήκους. ἔπειτα τηρεῖται. ἐὰν τὸ αὐθημερινὸν τοῦ ἡλίου ἔλαττον ᾖ τῆς μοίρας ἐκείνης, ἡ ὥρα τοῦ μήκους ἑνοῦται τῇ ὥρᾳ τοῦ μέσου τῆς ἡμέρας· εἰ δὲ πλέον, ἀφαιρεῖται ἀπὸ τῆς μοίρας ἐκείνης. καὶ πληροῦται ὁ ψῆφος ὡς ἐρρέθη εἰς τὴν διάμετρον καὶ σύνοδον ἡλίου καὶ σελήνης. καὶ εὑρίσκονται

8 φθάνῃ v ‖ 13 δύο Vv

αἱ ὧραι τῆς εἰσελεύσεως ἀπὸ τῆς ἡμέρας ἢ τῆς νυκτὸς εἰς τὸν ψῆφον τῶν γενεθλιαλογικῶν καὶ τῶν χρόνων τῶν αἰσθητῶν ὅλων.

Εἰς τὸν αἰσθητὸν δὲ χρόνον ἕν τι ὀφείλει τηρεῖσθαι. ἐὰν ᾖ οὕτως ὅτι | τὸ f158rL αὐθημερινὸν τοῦ ἡλίου τέλειον οὐκ ἐγένετο μετὰ τῆς ὀρθώσεως τῆς ἡμέρας, κατ' ἐναντίον τοῦ αὐθημερινοῦ τοῦ ἡλίου γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον τῆς ὀρθώσεως τῆς ἡμέρας, καὶ | κρατοῦνται τὰ πρῶτα καὶ β′ λεπτὰ τῆς ὥρας. f98rV καὶ ἐκεῖνα ἑνοῦνται εἰς τὴν ὥραν τῆς εἰσελεύεως.

Διαίρεσις. Περὶ τῆς εἰσελεύσεως τοῦ τόπου τῆς τύχης

Ἀφ' οὗ καταλειφθῇ ἡ ὥρα τῆς εἰσελεύσεως, ἀπ' ἐκείνης τῆς ὥρας ἡ τύχη ἐκβάλλεται οὕτως καθὼς ἐρρέθη πρότερον.

Ἐπεὶ δὲ βουλόμεθα τὴν τύχην τῆς εἰσελεύσεως μεθ' ἑτέρου ψήφου ἐκβαλεῖν, ἐκεῖνος ὁ ψῆφος ὁ ψῆφός ἐστι τῆς περισσείας τῶν χρόνων. γίνεται τοίνυν ζήτησις ὅτι ἀπὸ τῆς γεννήσεως πόσοι χρόνοι παρῆλθον. καὶ κατ' ἐναντίον τῶν χρόνων ἐκείνων γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον τῆς περισσείας τῶν χρόνων, καὶ κατ' ἐναντίον ἐκείνου κρατεῖται. ἡ περισσεία ἐκείνη μετὰ τῆς ὀρθώσεως τοῦ ὑψώματος τελεία γίνεται. καὶ ἐκείνη ἀεὶ ἑνοῦται τῷ τόπῳ τῆς τύχης ἐκείνης ἤγουν τῇ ἀρχῇ τῆς γεννήσεως. εἴ τι εὑρεθῇ, ἐὰν ᾖ πλέον τῆς περιφορᾶς τοῦ κύκλου τῶν $\overline{\tau\xi}$, ἡ περιφορὰ

6 δεύτερα Vv ‖ 11 ἐπεὶ] ἔπειτα Vv ‖ 12 post χρόνων add et cancell καὶ κατ' ἐναντίον v

ἀφαιρεῖται ἐξ ἐκείνου μέχρι ἂν γένηται ἐλάττων ἐκείνης. εἴ τι καταλειφθῇ, ὁ τόπος τῆς τύχης ἐστὶ τῆς εἰσελεύσεως. κατ' ἐναντίον ἐκείνου γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον τοῦ τόπου τῆς τύχης εἰς τὸ | πλάτος τῆς πόλεως f158vL ἐκείνης ἐν ᾗ γίνεται τηνικαῦτα ἡ ζήτησις τοῦ γενεθλιαλογικοῦ. καὶ κατ' ἐναντίον ἐκείνου ἡ τύχη ἐκβάλλεται ὡς ἐρρέθη πρότερον.

Διαίρεσις. Περὶ τῆς καταλήψεως τῆς τύχης τοῦ μέσου τῆς οἰκουμένης εἰς τὸ μῆκος καὶ πλάτος

Κρατεῖται ἡ περισσεία τῆς μέσης τοῦ μήκους τῆς πόλεως καὶ τῆς μέσης τῶν $\overline{\rho}$. | εἴ τι εὑρεθῇ, περιφορά ἐστιν. εἰ δὲ τὸ μῆκος τῆς ἡμετέρας πόλεως f311vv ἔλαττόν ἐστι τῶν $\overline{\rho}$, ἐκείνη ἡ περιφορὰ εἰς τὸν | τόπον τῆς τύχης τῆς ἡμετέρας f98vV πόλεως ἑνοῦται· εἰ δὲ πλέον τῶν $\overline{\rho}$, ἀφαιρεῖται. εἴ τι εὑρεθῇ, τόπος τῆς τύχης ἐστίν. κατ' ἐναντίον ἐκείνου εἰς τὸ κανόνιον τοῦ τόπου τῆς τύχης μετὰ τῆς εὐθείας γραμμῆς ἧς ἡ ἀρχὴ ἀπὸ τῆς ἀρχῆς τοῦ Κριοῦ γίνεται εἰσέλευσις, καὶ ἐκβάλλεται ἡ τύχη. εἰ δὲ ἡ ἀρχὴ τοῦ κανονίου ἐκείνου τοῦ μετὰ τῆς εὐθείας γραμμῆς ἀπὸ τῆς ἀρχῆς ἐστι τοῦ Αἰγοκέρωτος, ἐξ ἐκείνου ἐκβάλλεται ἡ τύχη.

Ἐκεῖνος οὖν ὁ τόπος τῆς τύχης ὁ μεθ' ἡμῶν περισσεύεται τόσον· $\overline{\sigma o}$. εἴ τι εὑρεθῇ, τόπος τῆς τύχης ἐστὶν εἰς τὸ κανόνιον ἐκεῖνο. εἰ βουλόμεθα τὴν τύχην ἐκβαλεῖν ἀπὸ τοῦ μέσου τῆς οἰκουμένης ὅτι τὸ πλάτος ἐκείνης ἐστὶ

τόσον· $\overline{\lambda\gamma}$, ἐκεῖνος ὁ τόπος τῆς τύχης οὐχὶ ὁ ἑνωθεὶς μετὰ τῶν $\overline{\sigma o}$, ἀλλ' ὁ πρὸ αὐτοῦ ἀπὸ τοῦ τόπου τῆς τύχης τοῦ ἐν τῷ κανονίῳ τοῦ πλάτους τῶν $\overline{\lambda\gamma}$ ἐκβάλλεται.

| Κεφάλαιον β΄. Περὶ τῆς καταλήψεως τοῦ τόπου τοῦ φωτὸς τῶν ἀστέρων f159rL
ἤτοι τοῦ πρὸς ἄλληλα τούτων σχηματισμοῦ

Πρὸ τοῦ εἰσελθεῖν εἰς τὸν ψῆφον τοῦτον τοσαῦτά εἰσι θεμέλια ἃ χρὴ εἰδέναι. ἴσθι ὅτι ἀπὸ τοῦ ι΄, τοῦ πρώτου μέχρι καὶ τοῦ τετάρτου ἥμισύ ἐστι τῆς ἀναβάσεως, ἀπὸ δὲ τοῦ δ΄, τοῦ ζ΄ μέχρι καὶ τοῦ ι΄ τὸ ἥμισύ ἐστι τῆς ἀναβάσεως.

Διαίρεσις. Περὶ τοῦ μήκους τῶν ἀστέρων ἀπὸ τῶν $\overline{\zeta}$ οἷος καὶ ἔστιν ἀπὸ τοῦ κέντρου τοῦ δ΄ καὶ τοῦ ι΄ μετὰ τοῦ ψήφου τοῦ Πτολεμαίου

Κρατεῖται ὁ τόπος τῆς τύχης τῶν ἀστέρων μετὰ τῆς εὐθείας γραμμῆς. εἶτα τηρεῖται. εἰ ἔστιν ὁ ἀστὴρ ὑπὲρ γῆν, κρα|τεῖται ἡ μοῖρα τοῦ ι΄ οἰκήματος μετὰ f99rV
τῆς εὐθείας γραμμῆς· εἰ δ' ὑπὸ γῆν ὁ ἀστήρ, κρατεῖται ἡ μοῖρα τοῦ τόπου τῆς τύχης τοῦ δ΄ οἰκήματος μετὰ τῆς εὐθείας γραμμῆς. εἶτα τηρεῖται. ἐὰν ὁ ἀστὴρ ὑπὲρ γῆν μέσον τῶν ζ΄ καὶ τῶν ε΄, ὁ τόπος τῆς τύχης τοῦ ἀστέρος ἀπὸ

7 δεκάτου V, L

τοῦ τόπου τῆς τύχης τοῦ ί οἰκήματος ἀφαιρεῖται. εἰ τι καταλειφθῇ, μῆκός ἐστι ἀπὸ τοῦ ί. εἰ δὲ ὁ ἀστὴρ μέσον τοῦ ί καὶ τοῦ α οἰκήματος τοῦ τόπου τῆς τύχης, ὁ τόπος τῆς τύχης ὁ ί ἀπὸ τοῦ τόπου τῆς τύχης τοῦ ἀστέρος ἀφαιρεῖται. εἰ τι καταλειφθῇ, μῆκός ἐστι τοῦ ἀστέρος ἀπὸ τοῦ ί. εἰ δ' ἐστὶν ὁ ἀστὴρ ὑπὸ γῆν, τηρεῖται. ἐὰν μέσον τῆς τύχης καὶ τοῦ δ, ὁ τόπος τῆς τύχης | τοῦ ἀστέρος ἀφαιρεῖται ἀπὸ τοῦ τόπου τῆς τύχης τοῦ δ. εἰ τι καταλειφθῇ, f159vL
μῆκός ἐστι τοῦ ἀστέρος | ἀπὸ τοῦ δ. εἰ δὲ ὁ ἀστὴρ μέσον τοῦ δ καὶ τοῦ ζ, f312rv
ὁ τόπος τῆς τύχης ὁ δ ἀπὸ τοῦ τόπου τῆς τύχης τοῦ ἀστέρος ἀφαιρεῖται. εἰ τι καταλειφθῇ, μῆκός ἐστι τοῦ ἀστέρος ἀπὸ τοῦ δ.

Διαίρεσις. Περὶ τοῦ πλάτους τῆς κινήσεως τοῦ κύκλου ἤγουν τοῦ πλάτους τῶν πόλεων

Ἐπεὶ χρεία γενέσθαι τὸν ψῆφον τοῦτον, τὸ μῆκος τοῦ ἀστέρος ἀπὸ τοῦ κέντρου τοῦ ί ἢ τοῦ δ τηρεῖται εἰς τὸ πλάτος τῆς πόλεως. εἰ τι εὑρεθῇ, τηρεῖται. τοῦτο θεμέλιον καλεῖται. ἔπειτα τηρεῖται. ἐὰν ὁ ἀστὴρ ὑπὲρ γῆν, ἐκεῖνο τὸ θεμέλιον μερίζεται εἰς τὸ ἥμισυ τόξον τῆς ἡμέρας – | τὸ αἰλὰτζ κατ' f99vV
Ἰνδούς. εἰ δ' ὑπὸ γῆν ἐστιν ὁ ἀστήρ, ἐκεῖνο τὸ θεμέλιον μερίζεται εἰς τὸ ἥμισυ τόξον τῆς νυκτός – τὸ αἰλάτζ. εἰ τι ἐξέλθῃ, πλάτος ἐστὶ τοῦ κύκλου τῆς κινήσεως.

2 post ἐστι v add et cancell τοῦ ἀστέρος ‖ 7–9 εἰ δ' ... δ in marg v ‖ 16 τὸ[1] iter. V

Εἰς τοῦτο τὸ πλάτος κανόνιον τοῦ τόπου τῆς τύχης τῶν ζῳδίων γίνεται ὡς ἂν ἐκεῖνο ᾖ τὸ θεμέλιον εἰς τὸ κίνημα τῶν ἀστέρων

Διαίρεσις. Περὶ τοῦ τόπου τοῦ φωτὸς τῶν ἀστέρων ἤτοι τοῦ πρὸς ἄλληλα τούτων σχηματισμοῦ οἵπερ ἔχουσι πλάτος μετὰ τοῦ ψήφου καὶ διὰ τοῦ κανονίου

Ἴσθι· ἐὰν ὁ ἀστὴρ πλάτος οὐκ ἔχῃ, τὰ τόξα τοῦ ἑξαγώνου καὶ τετραγώνου καὶ τριγώνου καὶ τῆς διαμέτρου τόσα · $\overline{\xi}$, $\overline{\rho}$, $\overline{\rho\kappa}$, $\overline{\rho\pi}$, $\overline{\sigma\mu}$, $\overline{\sigma o}$. ἐὰν ἔχῃ τοίνυν ὁ ἀστὴρ πλάτος, τὰ τόξα | ταῦτα πλέον καὶ ἔλαττον γίνονται ὧν χρεία f160rL ὀρθώσεως.

Κρατεῖται οὖν ἡ τραχηλαῖα $\overline{\lambda}$. ἐκείνη τηρεῖται εἰς τὴν τετελειωμένην τραχηλαῖαν τοῦ πλάτους τοῦ ἀστέρος. εἴ τι εὑρεθῇ, παρ' ἕνα βαθμὸν ἔλαττον κρατεῖται. ἔπειτα εἴ τι εὑρεθῇ, ἐκεῖνο τραχηλαῖά ἐστιν. τὸ τόξον ἐκείνης κρατεῖται· ἐκεῖνο ὄρθωσις λέγεται. τοῦτο τηρεῖται. ἔπειτα τὰ $\overline{\rho}$ εἰς τρεῖς τόπους τίθενται. εἶτα ἡ ὄρθωσις ἐκείνη ἀπὸ τοῦ α΄ ἀφαιρεῖται καὶ τῷ γ΄ ἑνοῦται. εἴ τι εὑρεθῇ ἀπὸ τοῦ α΄ τόξον ἐστὶ τοῦ ἑξαγώνου, ἡ διάμετρος ἐκείνου τρίγωνον· τὸ β΄ τόξον ἐστὶ τοῦ τετραγώνου, ἡ διάμετρος ἐκείνου αὖθις τετράγωνον· τὸ γ΄ τόξον ἐστὶ τοῦ τριγώνου, ἡ διάμετρος τούτου τόξον ἐστὶ τοῦ ἑξαγώνου.

---

2 ᾖ om V, L ‖ 6 ἔχει v ‖ 14 πρώτου V | τρίτῳ Vv ‖ 15 πρώτου V ‖ 16 δεύτερον V ‖ 17 τρίτον Vv

Ψῆφος μετὰ τοῦ κανονίου ἀφ' οὗ γίνεται δῆλον τὸ πλάτος τοῦ ἀστέρος

Κατ' ἐναντίον τοῦ|πλάτους τοῦ ἀστέρος γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον f100rV τόδε τῶν σχηματισμῶν τῶν ἀστέρων, καὶ κρατεῖται κατ' ἐναντίον ἐκείνου. εἴ τι εὑρεθῇ ἀπὸ τοῦ α΄ καὶ β΄ κανονίου καὶ τὸ ἀπὸ τῶν $\overline{\beta}$ εὑρεθὲν κανονίων τηρεῖται. ἔπειτα τὸ αὐθημερινὸν τοῦ ἀστέρος τίθεται εἰς τὴν ταῦλαν εἰς $\overline{\beta}$ τόπους. ἐκεῖνος οὖν ὁ κρατηθεὶς ψῆφος ἀπὸ τοῦ α΄ κανονίου ἀφαιρεῖται ἀπὸ τοῦ αὐθημερινοῦ τοῦ ἀστέρος τοῦ τεθέντος εἰς τὴν ταῦλαν α΄, καὶ ἑνοῦται τῷ τεθέντι αὐθημερινῷ β΄. εἴ τι οὖν εὑρεθῇ εἰς τὸ β΄ | ὁ τόπος |ἐστὶ τοῦ φωτὸς f160vL, f312vv τοῦ ἑξαγώνου τοῦ ἀστέρος ἐξ ἀριστερῶν, καὶ ἡ διάμετρος τούτου τρίγωνόν ἐστι δέξιον. εἴ τι δὲ εὑρεθῇ ἀπὸ τοῦ α΄ ἑξάγωνόν ἐστι δεξιόν, καὶ ἡ διάμετρος τούτου τρίγωνόν ἐστι ἀριστερόν.

Ὁ ψῆφος δὲ τοῦ β΄ κανονίου τὸ πλάτος τοῦ ἑξαγώνου εἰς ἐκεῖνο τὸ μέρος ἔνθα ἐστὶ τὸ πλάτος τοῦ ἀστέρος. καὶ πάλιν οὗτος ὁ ψῆφος τὸ πλάτος ἐστὶ τοῦ τριγώνου εἰς ἐκεῖνο τὸ μέρος ἔνθα οὐκ ἔστι τὸ πλάτος τοῦ ἀστέρος. τὸ τετράγωνον πλάτος οὐκ ἔχει. εἰ γοῦν δεήσει καταλειφθῆναι τὸ τετράγωνον, $\overline{\varrho}$ μοῖραι ἑνοῦνται τῷ αὐθημερινῷ τοῦ ἀστέρος, καὶ τὸ τετράγωνον τὸ ἀριστερὸν εὑρίσκεται. καὶ ἡ διάμετρος τούτου τὸ δεξιόν ἐστι τετράγωνον.

1 γένηται Vv ‖ 4 πρώτου Vv | δευτέρου Vv | δύο Vv ‖ 5 δύο Vv ‖ 6 πρώτου Vv ‖ 7 πρώτου Vv | τῷ om V ‖ 8 δευτέρῳ Vv | δεύτερον V ‖ 10 πρώτου V ‖ 12 δευτέρου Vv ‖ 17 ἐστι post τετράγωνον L

καὶ τὸ πλάτος τῆς διαμέτρου τοῦ ἀστέρος κατ' ἐναντίον ἐστὶ τοῦ πλάτους τοῦ ἀστέρος εἰς τὸ μέρος ἐκεῖνο ἔνθα οὐκ ἔστιν ὁ ἀστήρ.

Διαίρεσις. Περὶ τοῦ τόπου τοῦ | φωτὸς τῶν ἀστέρων μετὰ τῆς ἑνώσεως τῶν f100vV
$\overline{\beta}$ τόπων τῆς τύχης μετὰ τοῦ ψήφου τοῦ Πτολεμαίου

Χρείας γενομένης, τηρεῖται. ἐὰν ὁ ἀστὴρ εἰς τὸ ἥμισυ τῆς ἀναβάσεώς ἐστιν ἀπὸ τῆς σφαίρας, κατ' ἐναντίον τῆς μοίρας τοῦ ἀστέρος γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον τοῦ τόπου τῆς τύχης μετὰ τῆς εὐθείας γραμμῆς, καὶ ἀπὸ μέσου τοῦ κανονίου ὁ τόπος κρατεῖται. τοῦτο εἰς $\overline{\varsigma}$ τόπους τίθεται εἰς τὴν ταῦλαν. εἰς τὸν α΄ οὖν τόπον ἑνοῦνται $\overline{\xi}$, εἰς τὸν β΄ $\overline{\rho}$, εἰς τὸν γ΄ $\overline{\rho\kappa}$· καὶ ἀπὸ τοῦ δ΄ | ἀφαιροῦνται $\overline{\xi}$, ἀπὸ τοῦ ε΄ $\overline{\rho}$, καὶ ἀπὸ τοῦ ς΄ $\overline{\rho\kappa}$. ἔπειτα ἕκαστον ἀπὸ τῶν $\overline{\varsigma}$ f161rL
ζητεῖται μέσον τοῦ κανονίου τοῦ τόπου τῆς τύχης μετὰ τῆς εὐθείας γραμμῆς.

Ἄνωθεν οὖν τοῦ κανονίου κρατεῖται τὸ ζῳδίον, καὶ ἐκ πλαγίου αἱ μοῖραι. καὶ τὰ λεπτὰ αὖθις ἐκβάλλονται ἀπὸ μέσου τῶν $\overline{\beta}$ κανονίων ὡς ἐρρέθη πρότερον. εἴ τι οὖν ἐξέλθῃ, κατὰ τὴν τάξιν ἐκείνην εἰς $\overline{\varsigma}$ τόπους τίθεται, καὶ εὑρίσκεται ἀπὸ τοῦ α΄ τόπου τὸ ἀριστερὸν ἑξάγωνον, καὶ ἀπὸ τοῦ β΄ τὸ ἀριστερὸν τετράγωνον, καὶ ἀπὸ τοῦ γ΄ τὸ ἀριστερὸν τρίγωνον, καὶ ἀπὸ τοῦ δ΄ τὸ δέξιον ἑξάγωνον, καὶ ἀπὸ τοῦ ε΄ τὸ δέξιον τετράγωνον, καὶ ἀπὸ τοῦ ς΄

4 δύο Vv ‖ 7 post ἀπὸ L add et cancell τοῦ ‖ 9 πρῶτον Vv | δεύτερον Vv | τρίτον Vv | τετάρτου Vv ‖ 10 πέμπτου Vv ‖ 13 δύο Vv ‖ 15 πρώτου Vv | δευτέρου Vv ‖ 16 τρίτου Vv | τρίγωνον] τετράγωνον v ‖ 17 τετάρτου Vv | πέμπτου Vv | ἕκτου V

τὸ δεξιὸν τρίγωνον. ταῦτα οὖν τὰ $\overline{\varsigma}$ ἤγουν οἱ $\overline{\varsigma}$ σχηματισμοὶ τηροῦνται.

Ἔπειτα αὖθις κατ' ἐναντίον τοῦ αὐθημερινοῦ τοῦ ἀστέρος γίνεται εἰσέλευσις εἰς τὸ κανόνιον τοῦ τόπου τῆς τύχης τῶν ζῳδίων | εἰς τὸ πλάτος f101rV τῆς πόλεως ἐκείνης ἔνθα ἡ γέννησις, καὶ ὁ τόπος τῆς τύχης κρατεῖται ἀπὸ μέσου τοῦ κανονίου καὶ εἰς $\overline{\varsigma}$ τόπους τίθεται. | καὶ γίνεται ὁ ψῆφος οὗτος f313rv ὡς ὁ α΄ τεθεὶς εἰς $\overline{\varsigma}$ τόπους κατ' ἐναντίον τῶν $\overline{\varsigma}$ ἐκείνων ψήφων, ὁ α΄ ὑπὸ τὸν α΄, ὁ β΄ ὑπὸ τὸν β΄, καὶ καθεξῆς. ἔπειτα τηρεῖται, ὅτι οἱ $\overline{\beta}$ οὗτοι ψῆφοι, ἕκαστος μετὰ τοῦ ἑτέρου, κατ' ἐναντίον εἰσὶν ἢ οὔ, ὁ α΄ μετὰ τοῦ α΄ καὶ | καθεξῆς. ἐὰν οὖν ὦσι καὶ οἱ $\overline{\beta}$ ἐξισούμενοι, ὁ τόπος τῶν $\overline{\varsigma}$ φωτῶν τῶν f161vL ἀστέρων ἤγουν τῶν σχηματισμῶν ὀρθός ἐστιν.

Εἰ δὲ κατ' ἐναντίον οὐκ εἴσιν, χρεία τῆς τούτων ὀρθώσεως. ὀρθωθέντος δὲ τοῦ ἑνὸς καὶ τὰ ἕτερα ὀρθοῦνται. ἐπεὶ γοῦν χρεία ἐκβληθῆναι τὴν ὄρθωσιν ἑκάστου, ἡ περισσεία ἑκάστου κρατεῖται ἤγουν ἡ εὑρεθεῖσα μέσον τοῦ α΄ καὶ καθεξῆς. ἐκεῖνο τηρεῖται εἰς τὸ μῆκος τοῦ ἀστέρος ἀπὸ τοῦ ι΄ ἢ τοῦ δ΄ κέντρου. εἴ τι οὖν εὑρεθῇ, ἐκεῖνο θεμέλιον λέγεται. τοῦτο τηρεῖται.

Πάλιν δὲ τηρεῖται. ἐὰν ὁ ἀστὴρ ὑπὲρ γῆν, ἐκεῖνο τὸ θεμέλιον μερίζεται εἰς τὸ ἥμισυ τόξον τῆς ἡμέρας τοῦ ἀστέρος. εἰ δὲ ὑπὸ γῆν ὁ ἀστήρ, ἐκεῖνο τὸ θεμέλιον μερίζεται εἰς τὸ ἥμισυ τόξον τῆς νυκτὸς τοῦ ἀστέρος. εἴ τι εὑρεθῇ, ὄρθωσίς ἐστιν. καὶ αὖθις τηρεῖται εἰς ἐκείνας τὰς $\overline{\gamma}$ ἀκτινοβολίας τοῦ ἀστέρος,

6 πρώτος Vv | πρώτος Vv ‖ 7 πρώτον Vv | δεύτερος Vv | δεύτερον Vv | δύο Vv ‖ 8 πρώτος Vv | πρώτου Vv ‖ 9 δύο Vv ‖ 13 πρώτου Vv ‖ 19 τρεῖς Vv

ἤγουν τοὺς τρεῖς σχηματισμοὺς τοὺς ἐξ ἀριστερῶν, ἀφ' ὧν ἕκαστος ἀπὸ τῶν $\overline{\beta}$ ψήφων ἐξῆλθεν ὅτι ποῖός ἐστιν ἐγγὺς τοῦ ἀστέρος. ἐκείνη οὖν ἡ ὄρθωσις ἑνοῦται εἰς ἐκεῖνο τὸ ἐγγύτερον. |καὶ εἰς τὰς $\overline{\gamma}$ ἀκτινοβολίας τὰς ἐξ δεξιῶν f101vV
εἰς τὸ πορρώτερον ἑνοῦται, καὶ εὑρίσκονται οἱ $\overline{\varsigma}$ σχημαστισμοί.

Εἰ δὲ ὁ ἀστὴρ εἰς τὸ ἥμισυ τῆς καταβάσεώς ἐστι τῆς σφαίρας, οὗτοι οἱ ῥηθέντες ψῆφοι εἰς τὸν τόπον τῆς τύχης τῆς διαμέτρου τοῦ ἀστέρος γίνονται. εἴ τι οὖν εὑρεθῇ, διάμετρός ἐστι τοῦ |φωτὸς τοῦ ἀστέρος. $\overline{\varsigma}$ ζῴδια ἀεὶ f162rL
ἑνοῦνται τῇ διαμέτρῳ ταύτῃ, καὶ εὑρίσκεται τὸ φῶς τοῦ ἀστέρος.

Εἰ οὖν βουληθῶμεν καὶ ἄλλως ἐργάσασθαι τὴν τέχνην ταύτην, τὸ πλάτος τῆς κινήσεως τοῦ κύκλου καταλαμβάνεται, καὶ τὸ κανόνιον τοῦ τόπου τῆς τύχης τῶν ζῳδίων εἰς ἐκεῖνο τὸ πλάτος γινώσκεται ὡς ἂν γένηται ὁ ψῆφος εὐληπτότερος. ἐπεὶ γοῦν βουλόμεθα ποιῆσαι ψῆφον, τηρεῖται. ἐὰν ὁ ἀστὴρ εἰς τὸ ἥμισυ τῆς ἀναβάσεως τῆς σφαίρας ἐστίν, ὁ τόπος τῆς τύχης τῆς μοίρας ἐκείνης κρατεῖται ἀπὸ τοῦ κανονίου ἐκείνου. εἰ δὲ ὁ ἀστὴρ εἰς τὸ ἥμισυ τῆς καταβάσεως τῆς σφαίρας ἐστίν, ὁ τόπος τῆς διαμέτρου τῆς μοίρας τοῦ αὐθημερινοῦ τοῦ ἀστέρος κρατεῖται εἰς τὸ κανόνιον τοῦ τόπου τῆς τύχης εἰς τὸ πλάτος τῆς πόλεως |μετὰ τῆς εὐθείας γραμμῆς. καὶ ὁ ψῆφος ἑκάστης f313vv
ἀκτινοβολίας εἰς ἐκεῖνον τὸν τόπον τῆς τύχης ἑνοῦται ὡς ἐρρέθη ἐν τοῖς $\overline{\xi}$ καὶ $\overline{\rho}$ καὶ $\overline{\rho\kappa}$, ἀφαιρέσεως καὶ προσθέσεως γινομένης. καὶ ὁ ψῆφος ὁ ἕτερος

1 τῶν om Vv ‖ 2 δύο Vv ‖ 3 τρεῖς Vv ‖ 4 καὶ iter. v

οὕτω πληροῦται ὡς ἐρρέθη πρότερον. εἴ τι εὑρεθῇ, διάμετρός ἐστι τοῦ φωτὸς τῶν ἀστέρων ἐκείνων. εἰς ἕκαστον $\overline{\varsigma}$ ζῴδια προσ|τίθενται, καὶ εὑρίσκεται τὸ f102rV φῶς τῶν ἀστέρων.

Ὁ ψῆφος οὗτος δι᾽ ἄλλης μεθόδου εὐληπτοτέρας

Ἐπεὶ δι᾽ ἑνὸς τόπου τῆς τύχης γίνεται ὁ ψῆφος τούτου οὕτως, τὸ κανόνιον τοῦ τόπου τῆς τύχης μετὰ | τοῦ πλάτους τοῦ κύκλου τῆς κινήσεως φέρεται f162vL ἀνὰ χεῖρας, καὶ οἱ λεχθέντες οὗτοι ψῆφοι ἀπὸ τοῦ κανονίου τούτου γίνονται. καὶ χρεία οὐκ ἔστι τοῦ τόπου τῆς τύχης μετὰ τῆς εὐθείας γραμμῆς.

Κεφάλαιον γ΄. Περὶ τῆς κινήσεως τοῦ αἰλὰτζ ἤγουν τοῦ ἐξ ἰδίας | διανοίας f163rL γενομένου καὶ τοῦ τόπου τῆς μοίρας ἐκείνης

Ἴσθι ὅτι ἡ κίνησις τοῦ αἰλὰτζ καθ᾽ ἕκαστον χρόνον τοῦ ἡλίου μία μοῖρα τοῦ τόπου τῆς τύχης ἐστίν. ἐπεὶ γοῦν μία μοῖρα τὸν χρόνον $\overline{\varepsilon}$ λεπτά εἰσιν εἰς τὸν α΄ μῆνα, καὶ $\overline{\varsigma}$ ἡμέραι εἰς τὸ ἓν λεπτόν, καὶ δέκα δεύτερα λεπτά ἡμέρα μία. καὶ εἰς ὅλους τοὺς ψήφους οὕτω γίνεται, τοῦτο τὸ αἰλὰτζ ὅπερ κινεῖται μετὰ τῶν | ἀστέρων καὶ τῶν ὡρῶν τῶν καλῶν καὶ κακῶν κινεῖται f102vV

2 τὸ om v ‖ 12 post μοῖρα v add et cancell τοῦ τόπου τῆς τύχης ἐστὶ ‖ 13 ἕνα LV | ι β L ‖ 15 κινοῦσι LV | κινοῦσιν LV

ὅτι ἀπὸ τούτου ἵνα καταλειφθῇ ὅτι ὁ ἄνθρωπος ἐκεῖνος ζήσεται ἢ τελευτήσει. ἐνταῦθα δὲ εἰς τὴν κίνησιν ταύτην τοῦ αἰλὰτζ $\overline{\beta}$ ψῆφοι εἰσέρχονται. εἷς ψῆφος ἐκεῖνος ὅτι εἰς τὴν μοῖραν ἐκείνην τὸ αἰλὰτζ διχῶς κινεῖται δεύτερον ἐκεῖνο, ὅτι ὀφείλει καταληφθῆναι ὁ καιρός, ἡ δὲ μοῖρα οὐκ ἐξ ἀνάγκης. διὰ τοῦτο οὖν τὸ κεφαλαῖον τοῦτο εἰς $\overline{\beta}$ διαιρεῖται.

Διαίρεσις α΄. Περὶ τοῦ ψήφου ἐκείνου ἵνα γινώσκηται ἡ μοῖρα τοῦ καιροῦ ἀγνοουμένου

Ἐπεὶ χρεία γενέσθαι | τὸν ψῆφον τοῦτον, πρῶτον ὁ τόπος τῆς τύχης τοῦ f314rv
αἰλὰτζ μετὰ τοῦ τόπου τῆς τύχης τῆς μοίρας ἐκείνης μετὰ τοῦ πλάτους τῆς πόλεως κρατεῖται, καὶ ἕκαστον ἰδίᾳ τίθεται. εἶτα τηρεῖται τὸ αἰλάτζ. ἐὰν ᾖ εἰς τὴν μοῖραν τοῦ ι΄ οἰ|κήματος ἢ τοῦ δ΄, ὁ τόπος τῆς τύχης ἐκείνου μετὰ τῆς f163vL
εὐθείας γραμμῆς ἀπὸ τοῦ τόπου τῆς τύχης ἐκείνου μετὰ τῆς εὐθείας γραμμῆς ἀφαιρεῖται· εἰ δὲ τὸ αἰλὰτζ εἰς τὴν μοῖράν ἐστι τοῦ ζ΄ οἰκήματος, ὁ τόπος τῆς τύχης τῆς διαμέτρου ἐκείνου μετὰ τοῦ πλάτους τῆς πόλεως ἀπὸ τοῦ τόπου τῆς τύχης τῆς διαμέτρου ἐκείνης τῆς μοίρας μετὰ τοῦ πλάτους τῆς πόλεως ἀφαιρεῖται. εἴ τι καταλειφθῇ, τὸ τόξον ἐστὶ τῆς κινήσεως.

Εἰς ἑκάστην οὖν μοῖραν εἷς χρόνος κρατεῖται οὕτως ὡς εἴρηται πρότερον ὡς ἂν ὁ καιρὸς τῆς κινήσεως γνωρισθῇ. εἰ δὲ τὸ αἰλὰτζ μέσον ἐστὶ τῶν

2 δύο Vv ‖ 3 κινούσι LV ‖ 4 καταλειφθῆναι ut videtur L ‖ 5 δύο Vv

δύο κέντρων, ἐκεῖ ὄρθωσις γίνεται οὕτως. ἐὰν τὸ αἰλὰτζ εἰς τὸ ἥμισυ τῆς ἀναβάσεως τῆς|σφαίρας, ἡ περισσεία ἡ μέση τοῦ τόπου τῆς τύχης τῆς μοίρας f103rV ἐκείνου μετὰ τῆς εὐθείας γραμμῆς εἰς τὸ πλάτος τῆς πόλεως κρατεῖται καὶ τηρεῖται. ἐκεῖνο εἰς τὸ μῆκος τοῦ αἰλὰτζ ἀπὸ τοῦ κέντρου τηρεῖται. εἴ τι εὑρεθῇ, θεμέλιόν ἐστιν. ἔπειτα τηρεῖται. ἐὰν ὑπὲρ γῆν ἐστι τὸ αἰλάτζ, ἐκεῖνο τὸ θεμέλιον εἰς τὸ ἥμισυ τόξον τῆς ἡμέρας τοῦ αἰλάτζ μερίζεται· εἰ δ' ὑπὸ γῆν, εἰς τὸ ἥμισυ τόξον τῆς νυκτός. εἴ τι ἐξέλθῃ, ὄρθωσίς ἐστιν. ἔπειτα τηρεῖται μετὰ τοῦ τόπου τῆς τύχης τῆς εὐθείας γραμμῆς. ἐὰν πλέον τοῦ τόπου τῆς τύχης τῆς πόλεως, ἡ ὄρθωσις ἐξ ἐκείνου ἀφαιρεῖται· εἰ δ' ἔλαττον, ἑνοῦται ἐκείνῳ. |εἴ τι εὑρεθῇ, ὁ τόπος τῆς τύχης τῆς μοίρας τοῦ αἰλάτζ ἐστι f164rL τέλειος. τοῦτο τηρεῖται. ἡ περισσεία μέσον τοῦ τόπου τῆς τύχης μετὰ τῆς εὐθείας γραμμῆς ἐκείνης τῆς μοίρας μετὰ τοῦ τόπου τῆς τύχης τῆς πόλεως ἐκείνης τῆς μοίρας κρατεῖται. ἐκεῖνο εἰς τὸ μῆκος τοῦ αἰλὰτζ τηρεῖται, καὶ εἰς τὸ ἥμισυ τόξον τῆς ἡμέρας ἢ τῆς νυκτὸς τοῦ αἰλὰτζ μερίζεται. καὶ ὁ ἕτερος ψῆφος πληροῦται ὡς ἐρρέθη ἵνα ὁ τόπος τῆς τύχης ἐκείνης τῆς μοίρας εὑρεθῇ τέλειος.

Ἔπειτα ὁ τόπος τῆς τύχης ὁ τέλειος τοῦ αἰλὰτζ ἀπὸ τοῦ τόπου τῆς τύχης τῆς μοίρας ἐκείνης ἀφαιρεῖται. εἴ τι καταλειφθῇ, τόξον ἐστὶ τῆς κινήσεως. εἰ δὲ τὸ αἰλὰτζ εἰς τὸ ἥμισυ τῆς καταβάσεως τῆς σφαίρας, ὁ τόπος|τῆς τύχης f103vV

4 τηρεῖται iter. L

τῆς διαμέτρου τοῦ αἰλὰτζ κρατεῖται ἀπὸ τῆς μοίρας ἐκείνης, | καὶ γίνεται f314vv
οὗτος ὁ ψῆφος ἵνα τὸ τόξον τῆς κινήσεως εὑρεθῇ. εἰ δὲ θέλομεν τὸν ψῆφον τοῦτον λεπτότερον ποιῆσαι, πρῶτον ὁ τόπος τῆς τύχης τῶν ζῳδίων μετὰ τοῦ πλάτους τοῦ κύκλου τῆς κινήσεως μεταχειρίζεται. ἔπειτα εἷς τόπος τῆς τύχης κρατεῖται τοῦ αἰλὰτζ ἢ τῆς διαμέτρου τούτου, καὶ πάλιν ἡ μοῖρα ἐκείνη τούτου ὡσαύτως. ἔπειτα ὁ τόπος τῆς τύχης τοῦ αἰλὰτζ ἀπὸ τοῦ τόπου τῆς τύχης τῆς μοίρας ἐκείνης ἀφαιρεῖται ἵνα εὑρεθῇ τὸ τόξον τῆς κινήσεως. καὶ ἑκάστου μοῖρα κρατεῖται ὡς ἐρρέθη.

| Διαίρεσις. Περὶ τοῦ μερισμοῦ τῆς μοίρας τοῦ αἰλάτζ f164vL

Ἐπεὶ ἐγνώσθη ὁ καιρός, εἴπερ οὐ γινώσκεται ἡ μοῖρα εἰς ἣν κινεῖται τὸ αἰλάτζ, χρείας γενομένης γενέσθαι τὸν ψῆφον τοῦτον, τηρεῖται τὸ γενεθλιαλογικὸν πόσοι χρόνοι καὶ μῆνες καὶ ἡμέραι ἐκ τούτου παρῆλθον. καὶ ἕκαστος χρόνος τοῦ ἡλίου μία μοῖρα κρατεῖται, καὶ ἕκαστος μὴν $\overline{\varepsilon}$ λεπτά, καὶ ἑκάστη ἡμέρα δέκα δεύτερα λεπτά. εἴ τι εὑρεθῇ, ἐκεῖνο τόξον λέγεται τῆς κινήσεως ἤγουν τῆς ἐλάσεως. τοῦτο φυλάττεται. ἔπειτα τηρεῖται. ἐὰν τὸ αἰλὰτζ εἰς τὴν μοῖραν τοῦ ί καὶ δ΄ κέντρου ἐστίν, τὸ τόξον τοῦτο τῆς κινήσεως ἐνοῦται εἰς τὸν τόπον τῆς τύχης τούτου μετὰ τῆς εὐθείας γραμμῆς. εἴ τι εὑρεθῇ, ἐκεῖνο τηρεῖται εἰς τὸ μέσον τοῦ τόπου τῆς τύχης μετὰ τῆς

12 χρόνοι om L ‖ 13 πέντε V ‖ 14 δέκα] $\bar{\iota}$ L

εὐθείας γραμμῆς, καὶ κρατεῖται τὸ ζῴδιον ἄνωθεν καὶ αἱ μοῖραι ἐκ πλαγίου. καὶ ὁ ψῆφος τῶν λεπτῶν ἀπὸ μέσου τῶν $\overline{\beta}$ κανονίων ἐκβάλλεται οὕτως | ὡς f104rV
εἴρηται πρότερον.

Εἴ τι εὑρεθῇ, ὁ τόπος τῆς μοίρας ἐστὶ τοῦ αἰλάτζ. εἰ δὲ τὸ αἰλὰτζ εἰς τὴν μοῖράν ἐστι τῆς τύχης, οὗτος ὁ ψῆφος μετὰ τοῦ τόπου τῆς τύχης τῆς πόλεως γίνεται· εἰ δὲ τὸ αἰλὰτζ εἰς τὴν μοῖραν τοῦ ζ′ οἰκήματος, οὗτος ὁ ψῆφος μετὰ τοῦ τόπου τῆς τύχης τῆς διαμέτρου τοῦ αἰλὰτζ γίνεται εἰς τὸν τόπον τῆς τύχης τῆς πόλεως. εἴ τι εὑρεθῇ, διάμετρος τῆς μοίρας τοῦ μέρους τοῦ αἰλάτζ ἐστιν. | $\overline{\varsigma}$ ζῴδια τούτῳ προστίθενται, καὶ εὑρίσκεται ἡ μοῖρα τοῦ f165rL
μέρους τοῦ αἰλάτζ. εἰ δὲ τὸ αἰλὰτζ μέσον τῶν $\overline{\beta}$ κέντρων ἐστίν, ὁ ψῆφος μετὰ τῶν $\overline{\beta}$ τόπων τῆς τύχης ὀφείλει γενέσθαι μετὰ τοῦ τόπου τῆς τύχης τῆς εὐθείας γραμμῆς καὶ τῆς πόλεως. ἔπειτα τηρεῖται. ἐὰν τὸ αἰλὰτζ εἰς τὸ ἥμισύ ἐστι τῆς ἀναβάσεως, οὗτος ὁ ψῆφος μετὰ τοῦ τόπου τῆς μοίρας τοῦ αἰλὰτζ γίνεται· εἰ δὲ εἰς τὸ ἥμισύ ἐστι τῆς καταβάσεως τῆς σφαίρας, | οὗτος ὁ ψῆφος f315rv
μετὰ τῆς διαμέτρου τῆς μοίρας τοῦ αἰλὰτζ γίνεται. εἴ τι εὑρεθῇ ἀπὸ τῶν δύο τόπων τῆς τύχης ἀπὸ ζῳδίων, μοίρων καὶ λεπτῶν, ἐκείνη ἡ μοῖρα ἡ μοῖρά ἐστι τοῦ αἰλὰτζ μετὰ τοῦ ψήφου ἑκάστου τόπου τῆς τύχης. καὶ αὖθις τηρεῖται. ἐὰν καὶ τὰ $\overline{\beta}$ κατὰ τὰ ζῴδια, τὰς μοίρας καὶ τὰ λεπτὰ ἐξισοῦνται, ἐκείνη ἡ μοῖρα ἡ μοῖρα τοῦ αἰλὰτζ τελεία· εἰ δ' οὐκ ἐξισοῦνται, γίνεται ὄρθωσις.

1 ἡ μοῖρα Vv ‖ 2 δύο Vv ‖ 10 δύο Vv ‖ 11 δύο Vv ‖ 13 τῆς^2+τύχης ἡ LV ‖ 15 post γίνεται add et cancell εἰ δὲ εἰς τὸ ἥμισύ ἐστι τῆς καταβάσεως τῆς σφαίρας v ‖ 18 δύο Vv

Ὁ ψῆφος τούτου οὕτως· ἡ περισσεία τῶν $\overline{\beta}$ τόπων τῆς τύχης κρατεῖται, καὶ ἐκείνη εἰς τὸ μῆκος τοῦ αἰλὰτζ εἰς τὸ κέντρον τὸ ἱ ἢ δ᾽ τηρεῖται. εἴ τι εὑρεθῇ, | θεμέλιόν ἐστιν. πάλιν τηρεῖται. ἐὰν τὸ αἰλὰτζ ὑπὲρ γῆν ἐστιν, τὸ f104vV
θεμέλιον τοῦτο μερίζεται εἰς τὸ ἥμισυ τόξον τῆς ἡμέρας τοῦ αἰλάτζ· εἰ δε τὸ αἰλὰτζ ὑπὸ γῆν ἐστιν, μερίζεται τοῦτο εἰς τὸ ἥμισυ τόξον τῆς μοίρας τοῦ αἰλάτζ. εἴ τι εὑρεθῇ, ἐκεῖνο ὄρθωσίς ἐστιν.

Ἔπειτα | τηρεῖται εἰς τὸν τόπον τῆς τύχης μετὰ τῆς εὐθείας γραμμῆς. ἐὰν f165vL
ᾖ πλέον τοῦ τόπου τῆς τύχης τῆς πόλεως, ἡ ὄρθωσις ἐξ ἐκείνου ἀφαιρεῖται· εἰ δ᾽ ἔλαττον, ἡ ὄρθωσις ἐκείνῳ ἑνοῦται. εἴ τι εὑρεθῇ, ὁ τόπος τῆς τύχης τῆς μοίρας ἡ μοῖρά ἐστι τοῦ αἰλὰτζ μετὰ τῆς εὐθείας γραμμῆς. ἀπ᾽ ἐκείνου τοῦ τόπου τῆς τύχης ἡ μοῖρα τῆς μοίρας τοῦ αἰλὰτζ ἐκβάλλεται. εἰ δὲ τὸ αἰλὰτζ εἰς τὸ ἥμισυ τῆς καταβάσεως τῆς σφαίρας, οὗτος ὁ ψῆφος μετὰ τοῦ τόπου τῆς τύχης τῆς διαμέτρου τοῦ αἰλὰτζ γίνεται. εἴ τι εὑρεθῇ, μοῖρα τῆς διαμέτρου τῆς μοίρας ἐστὶ τοῦ αἰλάτζ. $\overline{\varsigma}$ ζῴδια τούτῳ προστίθενται. εἴ τι εὑρεθῇ, ἡ μοῖρά ἐστι τοῦ αἰλάτζ.

Οὗτος ὁ ψῆφος μετὰ ἄλλης τάξεως εὐληπτοτέρας γινόμενος μετὰ ἑνὸς τόπου τῆς τύχης

Εἰ γένηται χρεία γενέσθαι τὸν ψῆφον τοῦτον, ὁ τόπος τῆς τύχης τῶν ζῳδίων τοῦ πλάτους τῆς κινήσεως κρατεῖται. ἔπειτα τηρεῖται. ἐὰν τὸ αἰλὰτζ

1 δύο Vv ‖ 5 μοίρας] sup lin ἡμέρας add et cancell v ‖ 8 ἐκείνου] ἐκείνων v

εἰς τὸ ἥμισυ τῆς ἀναβάσεως, οὗτος ὁ ψῆφος μετὰ τοῦ τόπου τῆς τύχης τῆς μοίρας τοῦ αἰλάτζ ἀπὸ τοῦ κανονίου τούτου γίνεται· εἰ δὲ εἰς τὸ ἥμισυ τῆς καταβάσεως, οὗτος ὁ ψῆφος μετὰ τοῦ τόπου τῆς τύχης τῆς διαμέτρου τὸ αἰλὰτζ | γίνεται ἀπὸ τούτου τοῦ κανονίου. f315vv

---

| Κεφάλαιον δ΄. Περὶ τῆς ἐνθυμήσεως τῆς κινήσεως τῆς μοίρας τῆς τύχης τοῦ f105rV γενεθλιαλογικοῦ εἰς τὸν χρόνον, εἰς τοὺς μῆνας καὶ τὰς ἡμέρας καὶ εἰς τὴν κίνησιν τῆς τύχης | τούτου τέσσαρες διαιρέσεις εἰσίν. f166rL

Διαίρεσις α΄. Περὶ τῆς ἐνθυμήσεως ἐκείνου τοῦ ψήφου ὅτι καθ ᾽ ἕκαστον χρόνον $\overline{\alpha}$ ζῴδιον κινεῖται

᾽Επεὶ χρεία τοῦ ψήφου τοῦτου, οἱ τετελειωμένοι χρόνοι τοῦ ἡλίου οἱ παρηλθόντες ἀπὸ τοῦ γενεθλιαλογικοῦ τίθενται εἰς τὴν ταῦλαν. καὶ τὸ σημεῖον τοῦ ζῳδίου τῆς τύχης τοῦ θεμελίου τοῦ γενεθλιαλογικοῦ περισσεύεται εἰς τοὺς χρόνους ἐκείνους. εἴ τι εὑρεθῇ, ἐκεῖνο εἰς τὰ $\overline{\iota\beta}$ μερίζεται, ἤγουν ἀνὰ $\overline{\iota\beta}$ γίνεται τούτων ἀφαίρεσις. εἴ τι καταλειφθῇ, ἐκεῖνο ζῴδιον ὀφείλει εἶναι ἐφ᾽ ᾧ ἡ κίνησις τῆς τύχης κατ᾽ ἐκεῖνον τὸν χρόνον ἔφθασεν. ἐκεῖνο τὸ ζῴδιον ἰντεὲ καλεῖται.

5 ἐνθυμήσεως + ἐλάσεως sup lin V ‖ 7 τοῦτο LV ‖ 9 κινοῦσιν LV

Ἡ μοῖρα οὖν καὶ τὰ λεπτὰ ἐκεῖνα ἐκείνη ἡ μοῖρα καὶ τὰ λεπτὰ τῆς τύχης τοῦ θεμελίου εἰσίν.

Καὶ ἡ κίνησις ἐκείνη εἰς τρία τινά ἐστιν. ἕν ὅτι εἰς ἕκαστον ζῴδιον ἓν ζῴδιον κινεῖται, καὶ καθ' ἕκαστον μῆνα δύο μοῖραι καὶ ἥμισυ, καὶ καθ' ἑκάστην ἡμέραν $\overline{\varepsilon}$ λεπτά. καὶ μετὰ τούτου τοῦ ψήφου ἡ μοῖρα κινεῖται τῆς τύχης μετὰ τοῦ φωτὸς τῶν ἀστέρων ὅτι ἡ τύχη ἐστὶ τοῦ θεμελίου καὶ ἡ τύχη τῆς εἰσελεύσεως. δεύτερον ὅτι εἰς ἕκαστον χρόνον $\overline{\iota\gamma}$ ζῴδια ἀριθμοῦνται, καὶ εἰς ἑκάστην ἡμέραν $\overline{\alpha}$ μοῖρα καὶ $\overline{\delta}$ λεπτά εἰσιν, καὶ εἰς τὰς $\overline{\kappa\eta}$ ἡμέρας καὶ ἐπιδέκατον τῆς ἡμέρας $\overline{\alpha}$ ζῷδιον παρέρχεται. αὕτη ἡ κίνησις λέγεται τῶν μηνῶν. | τρίτον ἐκεῖνο ὅτι εἰς τὰς $\overline{\kappa\eta}$ ἡμέρας καὶ |ἐπιδέκατον τῆς ἡμέρας $\overline{\iota\gamma}$ f105vV, f166vL
ζῷδια ἀριθμοῦσιν, καὶ καθ' ἑκάστην ἡμέραν τόσον· $\overline{\iota\gamma}$ μοῖραι $\overline{\nu\gamma}$ λεπτά(αὕτη ἐν τούτῳ τῶν ἡμερῶν ἡ κίνησις). καὶ εἰς ἕκαστον ἀπὸ τῶν $\overline{\gamma}$ κανόνιον ἐτέθη ὅτι ὁ ψῆφος οὗτος ἐκεῖθεν ἵνα γένηται διὰ τὸ εὔληπτον.

Διαίρεσις β΄. Περὶ τῆς κινήσεως τῶν ψήφων τῆς τύχης τῆς εἰσελεύσεως

Ἴσθι πρῶτον ὅτι ἡ μοῖρα τῆς τύχης τῆς εἰσελεύσεως καὶ τὰ οἰκήματα ταύτης καὶ οἱ ἀστέρες τούτων εἰς ἕνα χρόνον $\overline{\iota\beta}$ ζῴδια κινοῦσιν, καὶ εἰς μίαν ἡμέραν $\overline{\nu\theta}$ λεπτὰ καὶ $\overline{\eta}$ β΄ λεπτά – ὅτι ἡ κίνησίς ἐστιν ἡ μέση τοῦ ἡλίου, καὶ εἰς ἕνα χρόνον μετὰ τοῦ ψήφου τούτου μετὰ τοῦ φωτὸς τῶν ἀστέρων ὅλων

1 ἐκεῖνα difficile visu v ‖ 5 πέντε Vv ‖ 10 ἐπίδεκτον ut videtur v ‖ 12 τριῶν Vv ‖ 17 δεύτερα Vv

| κινοῦνται διὰ τῆς σφαίρας πληρωθείσης τῆς περιφορᾶς. δεύτερον εἰς τὴν f316rv
κίνησιν τῶν μηνῶν. ἐκεῖνο εἰς μίαν ἡμέραν $\overline{\iota\beta}$ μοῖραι καὶ $\overline{\mu\theta}$ λεπτά. μετὰ
τοῦ ψήφου τούτου εἰς τόσας ἡμέρας κεὶ λεπτὰ τῆς ἡμέρας καὶ β′ λεπτά· $\overline{\lambda}$
$\overline{\kappa\varsigma}$ $\overline{\iota\beta}$ ζῴδιον $\overline{\alpha}$ πληροῦται εἰς τὸν μῆνα τοῦ ἡλίου.

Διαίρεσις γ′. Περὶ τῆς ἐλάσεως τῆς τύχης τῆς εἰσελεύσεως τοῦ μηνὸς μετὰ τοῦ ψήφου τούτου

Εἰς τόσον καιρόν· $\overline{\lambda}$ $\overline{\kappa\varsigma}$ $\overline{\iota\beta}$ ζῴδια $\overline{\iota\beta}$ ἐλαύνονται ἵνα πληρωθῇ ἡ περιφορά. καθ᾽ ἑκάστην ἐστὶ τόσον μοῖραι λεπτά· $\overline{\iota\alpha}$ $\overline{\nu}$ ὥστε εἰς $\overline{\alpha}$ μῆνα οἱ ψῆφοι τῆς τύχης τῶν μηνῶν ἐπανακυκλοῦνται μεθ᾽ ὅλων τῶν ἀκτινοβολιῶν τῶν ἀστέρων. καὶ διὰ τούτους τοὺς ψήφους κανόνια ἐτέθησαν ὅπως ὁ ψῆφος εὔληπτος ᾖ.

| Διαίρεσις δ′. Περὶ τῆς ἐλάσεως τῆς εἰσελεύσεως τῆς τύχης μεθ᾽ ἑτέρου f167rL
ψήφου

Ὁ τόπος τῆς τύχης | τῆς εἰσελεύσεως τίθεται εἰς τὴν ταῦλαν. καὶ εἰς τὸν f106rV
$\overline{\alpha}$ μῆνα τοῦ ἡλίου περισσεύεται τόσον· $\overline{\zeta}$ $\overline{\iota\gamma}$ μοῖραι καὶ λεπτά. εἴ τι εὑρεθῇ, ἐκεῖνο εἰς τὸ μέσον τοῦ κανονίου τοῦ τόπου τῆς τύχης τῆς πόλεως ζητεῖται. καὶ κατ᾽ ἐναντίον ἐκεῖνου ζῴδια καὶ μοῖραι κρατοῦνται ἵνα εὑρεθῇ ἡ μοῖρα

---

3 δεύτερα Vv ‖ 8 $\overline{\alpha}^2$] ἕνα Vv ‖ 14 ἕνα Vv

εἰς τὸν $\overline{\alpha}$ μῆνα.

Καὶ ἡ μοῖρα ἑκάστης ἡμέρας ἐκεῖθεν ἐκβάλλεται μετὰ τοῦ ψήφου τούτου εἰς τὸν $\overline{\alpha}$ χρόνον τοῦ ἡλίου. εἰς τὸν τόπον τῆς τύχης τῆς εἰσελεύσεως περισσεύεται τόσον· $\overline{\pi\varsigma}$ $\overline{\mu\delta}$ $\overline{\delta}$ καὶ διὰ τοῦτον τὸν ψῆφον κανόνιον ἐτέθη ὡς ἂν ὁ ψῆφος ἐκεῖθεν εὔληπτος γένηται. εἴ τι εὑρεθῇ παρ' ἡμῶν ἐξ ἀρχῆς καὶ ὅπερ ὑπεσχέθημεν πρότερον εἰς ταύτας τὰς $\overline{\iota\beta}$ μοίρας καὶ εἰς τὰ κεφάλαια ἑκάστης μοίρας καὶ τὰς διαιαρέσεις τούτων πάντων, τοῦτο εἰς τὸ τέλος ἀρήγοντος τοῦ Θεοῦ ἠγάγομεν σὺν προθυμίᾳ. ὁ Θεὸς δὲ διατηρήσοι τὸν ἄνθρωπον ἐκεῖνον ὃς τὴν σύνταξιν ταύτην διελθὼν μάθοι ἂν ὡς δεῖ τὰ ποιηθέντα παρ' ἡμῶν ἐν αὐτῇ πρὸς ἀκρίβειαν.

---

1 ἕνα Vv ‖ 3 ἕνα V | τῆς^2 + τῆς τύχης LV

First Appendix

Σχόλιον τοῦ Βράνα παραδείγματος χάριν

Ὁ ψῆφος εἰς χρόνους τῶν Ῥωμαίων ιγλ ἰουλ ις τοῦ ἡλίου εἰς τὸ ζ τοῦ Λέοντος καὶ λθ μοίρας περὶ τῆς ὀρθώσεως τῆς ἡμέρας κατ' ἐναντίον τοῦ πλάτους τῆς πόλεως με. ἐγένετο εἰσέλευσις εἰς τὸ κανόνιον τῆς ὀρθώσεως τῶν ἡμέρων, καὶ εὑρέθη ψῆφος κς ια. ἐκρατήθησαν κατ' ἐναντίον τῆς ἐποχῆς τοῦ ἡλίου γενικὰ λεπτὰ τὴν ἀρχὴν τοιούτων τῶν μοιρῶν ἀπὸ τοῦ α μέχρι καὶ τοῦ ρ , καὶ πάλιν ἐπαναστρεφομένων. εὑρέθησαν οὖν νι. ταῦτα ἐτηρήθησαν εἰς τὴν τραχηλαῖαν τῆς ὀρθώσεως τῆς ἡμέρας τὰ κς ια. δηλονότι καὶ ἐξῆλθον κα νγ λα ν.

Ταῦτα ἐκρατήθησαν παρ' ἕνα βαθμὸν κάτω καὶ ἐγένοντο κ νγ λα ν. καὶ εὑρέθη ἡ τραχηλαῖα τῆς ὀρθώσεως τῆς ἡμέρας ταῦτα. κατ' ἐναντίον τῆς τραχηλαίας ταύτης ἐκρατήθη τὸ τόξον θθ. καὶ τοῦτο ἦν ἡ ὄρθωσις τῆς ἡμέρας εἰς τὰς μοίρας τοῦ ἡλίου. τηνικαῦτα ἐκεῖνα δὲ τὰ κ νγ λα ν | ἐγένοντο κα καὶ ἡνώθησαν τοῖς ρ καὶ ἐγένετο τὸ ἥμισυ τόξον τῆς ἡμέρας f107vL ταύτης. ἐδιπλασιάσθη ταύτῃ καὶ ἐγένετο τὸ τόξον τῆς ἡμέρας πάσης ἤτοι σκβ. ἐμερίσθησαν εἰς τὰ ιε. ταῦτα καὶ ἐξῆλθον αἱ ὧραι πάσης τῆς ἡμέρας.

1 τοῦ Βράνα παραδείγματος χάριν] εἰς παραδείγματος + τοῦ βράνα in marg L ‖ 2 ιγλ] ιγδ v ιχη L | ις om L | τοῦ ἡλίου] ἐκείνη δὲ τοῦ ἡλίου L ‖ 6 τοιούτων] ποιούντων v, L ‖ 8 δηλονότι] δῆλα L ‖ 9 καιγλαι v ‖ 10 κιγλαι v ‖ 13 κιγλαι v ‖ 14 καὶ om V ‖ 15 ταύτῃ om V ‖ 16 πάσης] πᾶσαι v

Second Appendix

Ἄλλως ἀπὸ φωνῆς τοῦ Σάμψ

Οἱ ο•ϙ χρόνοι ἀφαιροῦνται ἀπὸ τοῦ ἔτους τῶν Ἀράβων. εἴ τι καταλειφθῇ, εἴ εστι πλέον τῶν $\overline{\xi}$, τὰ $\overline{\xi}$ ἀνάβασις μία κρατοῦνται. εἴ τι οὖν εὑρεθῇ, ἀπὸ τῶν ἀναβάσεων, ὃ λέγεται | κατὰ Πέρσας μορφοῦ, καὶ ἀπὸ τῶν χρόνων εἰς f109rL
τὰ $\overline{\text{νγ}}$ δεύτερα λεπτὰ ἀεὶ τηρεῖται. εἴ τι εὑρεθῇ, ἀπὸ μοιρῶν καὶ λεπτῶν ἑνοῦται τῷ εὑρεθέντι ἐν τῷ κανονίῳ ψήφῳ τοῦ αὐθημερινοῦ τῶν ἀστέρων καὶ τὸ αὐθημερινὸν τῶν ἀστέρων εὑρίσκεται εἰς ἐκεῖνο τὸ ἔτος.

---

1 ἀπὸ φωνῆς om. Vv ‖ 2 τι] τινα v

Third Appendix

Τοῦ Σὰμψ εἰς τοῦτο

Τηρεῖται τὸ ἥμισυ τόξον τῆς νυκτὸς ἐκείνης καὶ τὸ ἥμισυ τόξον τοῦ ἀστέρος τῆς ἡμέρας. εἰ ἐξισοῦνται καὶ ἀμφότερα, ἐκείνη ἡ εὑρεθεῖσα περιφορὰ ὅταν ἀνίσχῃ ὁ ἀστὴρ |τῆς ἀρχῆς | ἐστι τῆς νυκτός. εἰ δὲ τὸ f288vv, f112vL
5 τόξον τοῦ ἀστέρος τῆς ἡμέρας ἔλαττον ἀπὸ τοῦ ἡμίσεως τόξου τῆς νυκτός, ἀφαιρεῖται τοῦτο ἀπὸ τοῦ ἡμίσεως τόξου τῆς νυκτός. εἴ τι καταλειφθῇ, ἐκεῖνο ἐνοῦται τῇ περιφορᾷ. εἴ τι εὑρεθῇ, περιφορά ἐστιν ἀπὸ τῆς ἀρχῆς τῆς νυκτός. εἰ δὲ τὸ ἥμισυ τόξον τοῦ ἀστέρος τῆς ἡμέρας πλέον ἀπὸ τοῦ ἡμίσεως τόξου τῆς νυκτός, τὸ ἔλαττον ἀφαιρεῖται ⟨ἀπὸ⟩ τοῦ πλείονος. εἴ
10 τι καταλειφθῇ, ἐκεῖνο ἀφαιρεῖται ἀπὸ τῆς περιφορᾶς. εἴ τι καταλειφθῇ, περιφορά ἐστιν ἀπὸ τῆς ἀρχῆς τῆς νυκτός. καὶ ἀπὸ τούτου καταλαμβάνονται αἱ ζητούμεναι ὧραι τῆς νυκτός.

---

1 τοῦ Σὰμψ εἰς τοῦτο] ὁ Ἀβδουραχμάνης μέτρον τοῦτον εἴρηκε καὶ ὁ ἐμὸς διδάσκαλος τόνδε τὸν μέτρον προσέθηκεν L ‖ 5 ἥμισυ ut vid. v ‖ 6 ἥμισυ ut vid. v ‖ 8 τῆς ἡμέρας τοῦ ἀστέρος L ‖ 10 εἴ τι καταλειφθῇ] τὸ καταλειφθὲν Vv

Fourth Appendix

Χρὴ εἰδέναι ὅτι ἐὰν ἀπὸ τοῦ Καρκίνου κρατηθῇ ὁ ψῆφος ἐν τῷ κανονίῳ τοῦ α΄, καὶ ὁ ἕτερος ψῆφος αὖθις ἀπὸ τοῦ Καρκίνου τοῦ ἐν τῷ ἑτέρῳ κανονίῳ. καὶ καθεξῆς οὕτω καὶ ἐπὶ τῶν ἄλλων ζῳδίων.

---

1 τοῦ[1] om v ‖ 2 πρώτου Vv

Fifth Appendix

οἷον ἐὰν ὦσι $\overline{\lambda}$ καὶ $\overline{\lambda\varsigma}$ εἰς τὴν περισσείαν τούτων, τὰ $\overline{\varsigma}$.

1 εἰς...τὰ ς om. v